# Τῌ͂ Β΄ ΤΟΥ ΜΗΝΟΣ ΑΥΓΟΥΣΤΟΥ

# ΑΚΟΛΟΥΘΙΑ
# ΤΗΣ ΑΝΑΚΟΜΙΔΗΣ
# ΤΟΥ ΙΕΡΟΥ ΛΕΙΨΑΝΟΥ
# ΤΟΥ ΑΓΙΟΥ ΑΠΟΣΤΟΛΟΥ
# ΚΑΙ ΠΡΩΤΟΜΑΡΤΥΡΟΣ
# ΣΤΕΦΑΝΟΥ
# ΤΟΥ ΔΙΑΚΟΝΟΥ

Συμπληρωθεῖσα κατὰ τὰ ἐλλείποντα ἐκ τοῦ Μηναίου
δι᾽ ἀνεκδότων χειρογράφων

---

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Εἰς τὸ Κύριε, ἐκέκραξα, ἱστῶμεν στίχους δ΄
καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια.

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

**Ἐ**ν τῷ καιρῷ τοῦ χειμῶνος, πανηγυρίσαντες, τὴν ἄθλησίν σου μάρτυς, ἐν τῷ θέρει νῦν πάλιν, μετάθεσιν λειψάνου, σοῦ τοῦ σεπτοῦ, ἑορτάζομεν Στέφανε, διπλᾶς λαμβάνοντες χάριτας παρὰ σοῦ, καὶ διπλῶς ἐπαγαλλόμενοι.

**Σ**τέφανος πλήρης ὑπάρχων, θείας δυνάμεως, καὶ τῆς Θεοῦ σοφίας, ἐραστὴς χρημάτων, μιμεῖται τὸν δεσπότην καὶ ποιητήν· τοῖς γὰρ λίθοις βαλλόμενος· τὴν ἁμαρτίαν ἐβόα μὴ στήσῃς αὐτοῖς, τοῖς ἐμὲ λιθολευστοῦσι Χριστέ.

**Π**ρὸς θεωρίαν τῆς ἄνω, θεοφανείας ἀρθείς, ὁ ὑψηλόνους μάρτυς, τῆς Χριστοῦ ἐποψίας, τὴν ἄφραστον ἐκείνην, δόξαν ἰδών, ἐδοξάσθη τὸ πρόσωπον, ὑπὲρ τὸν πάλαι Μωσέα ἐν τῷ Σινᾷ, τὰ ὀπίσθια ἰδόντα Θεοῦ.

**Δ**εῦτε ἀσπάσασθε πάντες, τὴν θαυματόβρυτον, καὶ παναγίαν χεῖρα, τοῦ πρωτάθλου Στεφάνου· χάριτας γὰρ αὕτη παντοδαπάς, ἀναβλύζει ἑκάστοτε, καὶ τῆς ψυχῆς καὶ τοῦ σώματος τὰ δεινά, θεραπεύει ἀῤῥωστήματα.

Δόξα. Ἦχος δ΄.

**Τ**ὴν ἐτήσιον μνήμην τοῦ πρωτάθλου Στεφάνου, χαρμονικῶς ἀδελφοὶ ἑορτάσωμεν· οὗτος γὰρ καὶ ἐν τῇ ζωῇ αὐτοῦ ἐδοξάσθη πλήρης πίστεως φανεὶς καὶ δυνάμεως, καὶ τὸ πρόσωπον ὡραϊσθεὶς ὥσπερ Ἄγγελος, καὶ μετὰ θάνατον ὑπερβαλλούσῃ δόξῃ ἐκαλλωπίσθη, τὸ σεπτὸν αὐτοῦ καὶ ἅγιον λείψανον, εὐωδίαν ἀναπνέον οὐράνιον· Ἀγγελικαῖς δυνάμεσι δορυ-

φορούμενον δαίμονας ἀπελαῦνον καὶ πηγὰς θαυμάτων ἐκβλύζον· οὕτω γὰρ οἶδε δοξάζειν Θεὸς τοὺς αὐτὸν ἐν ἔργοις καὶ λόγοις ἀντιδοξάζοντας· ὃν καθικέτευε Πρωτομάρτυς, δωρηθῆναι ἡμῖν τοῖς σοῖς ὑμνηταῖς ἄφεσιν πταισμάτων καὶ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον, ὁ αὐτός.

**Ἐ**κ παντοίων κινδύνων, τοὺς δούλους σου φύλαττε, εὐλογημένη Θεοτόκε, ἵνα σὲ δοξάζομεν τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.

Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

**Κ**λῆμα τῆς νοητῆς, ἀναδειχθεὶς ἀμπέλου, καὶ ὥριμος ὡς βότρυς, Στέφανε προσηνέχθης, λαμπρῶς τῷ γεωργῷ Θεῷ.

Στίχ. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτοῦ.

**Ἄ**θροισμα τῶν πιστῶν, εὐφράνθητι ἰδοὺ γάρ, θεόπλοκος ἐπέστη, τῇ Ἐκκλησίᾳ χάρις, ὁ Πρωτομάρτυς Στέφανος.

Στίχ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα.

**Ἄ**νθεσι λογικοῖς, δεῦτε πιστοὶ συμφώνως, τὸν ἐκ Θεοῦ στεφθέντα, καὶ χάριτος πλησθέντα, Στέφανον ἀναδήσωμεν.

Δόξα. Ὅμοιον.

**Ἴ**θυνον τὰς ἡμῶν, εὐχὰς πρὸς τὸν Δεσπότην, καὶ δίδου Στεφανῖτα, τῇ σὲ τιμώσῃ ποίμνῃ, πταισμάτων τὴν συγχώρησιν.

Καὶ νῦν. Θεοτοκίον.

**Δ**έσποινα ἀγαθή, τὰς σὰς ἁγίας χεῖρας, πρὸς τὸν Υἱόν σου ἆρον, τὸν φιλόψυχον πλάστην, οἰκτειρῆσαι τοὺς δούλους σου.

Νῦν ἀπολύεις, Τρισάγιον, τὸ Ἀπολυτίκιον
ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν Προοιμιακόν, τὸ Μακάριος ἀνήρ. Εἰς τὸ Κύριε, ἐκέκραξα, ἱστῶμεν στίχους η΄ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια.

Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.

**Θ**ησαυρὸς ὡς πολύτιμος, καὶ χρυσὸς ὥσπερ δόκιμος, σοῦ τὸ πανσεβάσμιον πεφανέρωται, λείψανον Στέφανε πρώταθλε, ἐκ γῆς καὶ ἐπλούτισε, χαρισμάτων δωρεαῖς, τῶν πιστῶν ἅπαν σύστημα, καὶ κατηύφρανε, τὰς καρδίας

τῶν πόθῳ σε τιμώντων, καὶ τὴν μνήμην σου τὴν θείαν, ἐπιτελούντων ἐν ᾄσμασιν.

**Σ**υνελθόντες φιλέορτοι, μυστικῶς τὴν ἐτήσιον, καὶ σεπτὴν πανήγυσιν ἑορτάσωμεν, τοῦ Πρωτομάρτυρος σήμερον, ἐν ταύτῃ λαμβάνοντες, ἰαμάτων δωρεὰς καὶ χαρίσματα ἄφθονα, καὶ βοήσωμεν, ἀξιΰμνητε μάρτυς ἐκδυσώπει, λυτρωθῆναι ἐκ κινδύνων, τοὺς ἐκτελοῦντας τὴν μνήμην σου.

**Ἐ**ν σημείοις καὶ τέρασιν, ἀπαστράπτων καὶ δόγμασι, παρανόμων ἔσβεσας τὸ συνέδριον· καὶ ὑπ᾽ αὐτῶν ἀναιρούμενος, καὶ λίθοις βαλλόμενος, ὑπὲρ τῆς τῶν φονευτῶν, σὺ προσηύχου ἀφέσεως, ἐκμιμούμενος, τὴν φωνὴν τοῦ Σωτῆρος, οὗ εἰς χεῖρας, ἐναπέθου σου τὸ πνεῦμα, τὸ ἱερώτατον Στέφανε.

**Τ**ίνα χάριν προσοίσωμεν, σοὶ πανάγιε Στέφανε, ἢ τὶ ἀνταπόδομα ἀποδώσωμεν, ἡμεῖς οἱ ἔσχατοι δοῦλοί σου, ἀνθ᾽ ὧν κατεπλούτισας, ἡμᾶς θείῳ θησαυρῷ, δεξιᾶς τῆς τιμίας σου· ὅθεν ἅπαντες, εὐχαρίστοις ἐν ὕμνοις σὲ τιμῶμεν, καὶ τὴν χάριν τὴν μεγίστην, τὴν εἰς ἡμᾶς σοῦ κηρύττομεν.

Ἕτερα Στιχηρὰ Προσόμοια.

Ἦχος ὁ αὐτός. Ἔδωκας σημείωσιν.

**Χ**άρις τῶν ἰάσεων, ἐκ τῶν λειψάνων σου Στέφανε, κρουνηδὸν νῦν προχέεται· προσέλθετε ἅπαντες, οἱ ποικίλας νόσους, ἔχοντες καὶ πάθη, ψυχῆς ὁμοῦ τε καὶ σαρκός, μετ᾽ εὐλαβείας πόθου καὶ πίστεως, καὶ ἴασιν εὑρήσετε, τὸν Ἰησοῦν μεγαλύνοντες, τὸν ἐν γῇ θαυμαστώσαντα, τὸν αὐτοῦ Πρωτομάρτυρα.

**Ἄ**γγελος ἐπίγειος, ὁ Πρωτομάρτυς γενόμενος, πρὸς οὐρανοὺς ἀνερχόμενος, ἐπήρθη μετάρσιος, καὶ τὴν θείαν εἶδεν, ὡς ἐχώρει δόξαν, τῆς ἀπροσίτου μυηθείς, καὶ ὑπὲρ νοῦν Τριάδος μυστήρια· διὸ τὴν ἀκατάληπτον, ἀνακηρύττει σου δύναμιν, Ἰησοῦ παντοδύναμε, ὁ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

**Ὡ**ραῖος ἐπέφανας, τῇ ἐπανόδῳ σου Στέφανε, Πρωτομάρτυς πανένδοξε, ἀκτῖσι κοσμούμενος, χαρισμάτων θείων, καὶ τῶν ἰαμάτων· διὸ καὶ πάντας τοὺς πιστούς, καταφαιδρύνεις τοῖς θαυμασίοις σου, ἐν πίστει τὸν φιλάνθρωπον, ὑμνολογοῦντας καὶ λέγοντας· Ἰησοῦ παντοδύναμε, ὁ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

**Κ**άλαμος ὑπέρτιμος, ὀξυγραφῶν τὴν εὐσέβειαν, ἀνεδείχθη ἡ γλῶσσά σου, δι᾽ ἧς κατεφώτισας, Πρωτομάρτυς πάντας, ταῖς διδασκαλίαις, καὶ ἐπανήγαγες ἡμᾶς, ἐξ ἀγνωσίας πρὸς τὴν εὐσέβειαν· διό σου τὴν ἐτήσιον, ἐπιτελοῦντες πανήγυριν, ἀνυμνοῦμεν γεραίροντες, τοὺς ἀγῶνάς σου Στέφανε.

Δόξα. Ἦχος πλ. β΄.

**Ἑ**ορτὴ χαρμόσυνος, τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ ἐπέφανε· σήμερον γὰρ ὁ πρωταθλητὴς καὶ πολυχαρίτωτος Στέφανος, ὡς λαμπρὸς ἥλιος ἐκ τῶν τῆς γῆς λαγόνων ἀνέτειλε, χρυσοφαεῖς ἀποστίλβων ἀκτῖνας, καὶ ποταμηδὸν τὰ

θαύματα προχεόμενος. Δεῦτε οὖν φιλέορτοι, τὰς ψυχὰς φωτισθέντες, τὴν μνήμην αὐτοῦ ἑορτάσωμεν λέγοντες· χαίροις πανάγιε Στέφανε, ἡ καλὴ ἀπαρχὴ τῶν Μαρτύρων καὶ ἀκροθήνιον· χαίροις ὁ τὴν ἐν οὐρανοῖς δόξαν θεωρήσας Χριστοῦ τοῦ Θεοῦ, καὶ ἐξ ἐκείνης χαριτωθεὶς τὴν μορφὴν ὥσπερ Ἄγγελος· χαίροις ὁ τοῦ σεπτοῦ σου τούτου ναοῦ (ἤ· ὁ τῆς σεπτῆς ταύτης Μονῆς)· προστάτης καὶ φύλαξ καὶ ἔφορος, μὴ παύσῃ πρεσβεύων Χριστῷ δωρηθῆναι ἡμῖν τοῖς τιμῶσί σε τὸ μέγα ἔλεος.

Καὶ νῦν. Προεόρτιον. Ὁ Αὐτός.

Δεῦτε τῇ διανοίᾳ ἀπίωμεν πιστοί, πρὸς τὸ ἅγιον ὄρος, δεῦτε προϋπαντήσωμεν, καθαρᾷ τῇ καρδίᾳ, τῆς ἐνδόξου Μεταμορφώσεως, Χριστοῦ τοῦ Θεοῦ ἡμῶν· σήμερον γὰρ τοῦ προανάρχου Πατρός, Υἱὸς ὁ μονογενής, τοὺς προκρίτους τῶν μαθητῶν παραλαβών, ἐν τῷ Θαβὼρ μεταμορφωθῆναι ἀνέρχεται, ἵνα πιστώσῃ αὐτοῖς τῆς οἰκονομίας αὐτοῦ τὸ μυστήριον. Διὸ καὶ ἡμεῖς πνευματικῶς συνανέλθωμεν αὐτῷ καὶ θερμῶς ἐκβοήσωμεν· Δέσποτα Χριστέ, τοῦ θείου σου φωτὸς μὴ ὑστερήσῃς ἡμᾶς, εὐχαῖς τῆς τεκούσης σε, διὰ τὸ μέγα σοῦ ἔλεος.

Εἴσοδος, τὸ Φῶς ἱλαρόν, καὶ τὰ Ἀναγνώσματα.

(Ζήτει ταῦτα εἰς τὴν ἀκολουθίαν τῆς κζ´ Δεκεμβρίου)

Εἰς τὴν Λιτήν, Ἰδιόμελα.

Ἦχος α´.

Εὐφραίνου ἐν Κυρίῳ ἡ τοῦ Κώνστατος ἱερὰ μονή· ἀγάλλου καὶ χόρευε πίστει λαμπροφοροῦσα, ἐπὶ τῇ ἐνδόξῳ μνήμῃ καὶ φαιδρᾷ πανηγύρει, τῆς τοῦ λειψάνου ἀνακομιδῆς, τοῦ σοῦ προστάτου Στεφάνου τοῦ πρωτομάρτυρος· ἡ γὰρ χάρις τοῦ ἁγίου Πνεύματος, τὴν πανίερον αὐτοῦ λάρνακα, πηγὴν θαυμάτων ἀνέδειξε, πᾶσι τὰς ἰάσεις προχέουσα, τοῖς μετὰ πίστεως αὐτῇ προσπελάζουσι· καὶ ἡμεῖς οὖν αὐτὸν ἐκθειάζοντες, ἐκ παντοίων κινδύνων καὶ βλάβης διασῳζόμεθα, τῇ ἄνωθεν ἀντιλήψει τούτου καὶ χάριτι.

Ἦχος β´.

Δεῦτε ἅπαντες οἱ ἐν Κυρίῳ ἀδελφοί, τὰ πνευματικὰ τῆς Μονῆς ἡμῶν τέκνα, τὰ τῶν ᾀσμάτων ἄνθη δρεψάμενοι, καὶ τὰς κεφαλὰς ἀναδησάμενοι, ἐν ὕμνοις ἀναμέλψατε· χορὸν δὲ συγκροτήσαντες, τὴν πανίερον λάρνακα τοῦ ἡμετέρου προστάτου, Στεφάνου τοῦ πρωτάθλου περικυκλώσατε, καὶ πρὸς αὐτὸν ἐκ ψυχῆς ἀνακράξατε· ὦ πρωτομάρτυς τοῦ Χριστοῦ, καὶ τῆς Μονῆς σου ταύτης θερμότατε ἔφορε, μὴ διαλίπῃς ἄνωθεν ἐποπτεύων ἡμᾶς τοὺς σοὺς δούλους, μηδὲ ἀποστήτω τῆς ποίμνης σου, ἡ σὴ προστασία καὶ χάρις, ἀλλὰ νοερῶς ἡμῖν ἀεὶ συμπαρῶν, ὁδήγει ἐπὶ τὴν τρίβον τῶν τοῦ Θεοῦ θελημάτων· καὶ πρέσβευε πρὸς Κύριον ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὁ αὐτός.

**Π**ρῶτος ἐν Διακόνοις, πρῶτος καὶ ἐν Μάρτυσιν ἐδείχθης πανάγιε Στέφανε· ὁδὸς γὰρ ἐγένου τοῖς Ἁγίοις, καὶ πολλοὺς τῷ Κυρίῳ προσήγαγες Μάρτυρας· διὸ οὐρανός σοι ἠνοίγη, καὶ Θεός σοι ἐφάνη. Αὐτὸν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὁ αὐτός.

**Ἁ**γιωσύνην ἐνεδύσω Στέφανε μακάριε, Πρωτομάρτυς καὶ Πρωτοδιάκονε, τῶν Ἀγγέλων συμμέτοχε· δυσωπήθητι καὶ πρέσβευε ὑπὲρ ἡμῶν, πρὸς τὸν Σωτῆρα Κύριον τὸν ἀναμάρτητον.

Ἦχος δ΄.

**Σ**τέφανε ἔνδοξε, οὐρανοπολῖτα Χριστοῦ, θεράπον μακάριε, πρεσβείαν ποίησον, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ὁ αὐτός.

**Σ**τέφανος, ἡ καλὴ ἀπαρχὴ τῶν Μαρτύρων, ὁ πλήρης χάριτος καὶ δυνάμεως, ὁ ποιῶν σημεῖα καὶ τέρατα μεγάλα ἐν τῷ λαῷ, ὑπὸ ἀνόμων ἐλιθάζετο· ἀλλ᾿ ἐξέλαμψεν ὡς Ἄγγελος, καὶ θεωρεῖ τὴν δόξαν, σοῦ τοῦ σταυρωθέντος ὑπὲρ ἡμῶν, ἐν δεξιᾷ τῆς δυνάμεως, καὶ τῷ Πνεύματι τῆς χάριτος, εἰς οὐρανοὺς ἐλαμβάνετο· καὶ διὰ τοῦτο, ταῖς χοροστασίαις τῶν Ἀγγέλων συναυλιζόμενος, πρεσβεύει σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος πλ. β΄.

**Π**ρῶτος ἐν Μάρτυσιν ἐδείχθης, καὶ ἐν Διακόνοις Στέφανε μακάριε, τῶν Ἀθλητῶν τὸ ἐγκαλλώπισμα, τῶν πιστῶν τὸ στήριγμα, ἡ δόξα τῶν δικαίων. Τοῖς τὴν σεπτήν σου ἑορτάζουσι μνήμην, αἴτησαι, ὡς παριστάμενος τῷ θρόνῳ Χριστοῦ τοῦ παντάνακτος, τῶν πταισμάτων ἱλασμόν, καὶ βασιλείας οὐρανῶν ἀξιωθῆναι.

Δόξα. Ἦχος δ΄.

**Ἡ** τοῦ ἁγίου Πνεύματος ἐνοικήσασα χάρις, ἔτι σοι ζῶντι πρώταθλε Στέφανε, αὐτὴ καὶ μετὰ θάνατον οὐκ ἀπέστη τοῦ ἱερωτάτου λειψάνου σου· ὅθεν πηγὴν θαυμάτων τοῦτο ἀνέδειξε, πᾶσι τὰς ἰάσεις προχέον τοῖς μετὰ πίστεως προσπελάζουσιν, ὧν καὶ ἡμῖν μετάδος πρωτομάρτυς καὶ πρωτοδιάκονε, τοῖς μετὰ πόθου τελοῦσι, τὴν φαιδρὰν καὶ πανέορτον μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον. Ὁ αὐτός.

**Ὁ** σὺν Πατρὶ καὶ Πνεύματι δοξολογούμενος Υἱὸς ἐν ὑψίστοις ὑπὸ τῶν Χερουβίμ, τὸν πρωτόπλαστον ἀναπλᾶσαι βουλόμενος, ὅλον ἑαυτὸν ἐκένωσεν ἀφράστως ἐν μήτρᾳ σου, Θεοτόκε πανύμνητε, καὶ ἐκ σοῦ ἀνατείλας, ἐφώτισε πάντα τὸν κόσμον Θεότητι, ῥυσάμενος εἰδωλομανίας, ἐν ἑαυτῷ θεώσας, εἰς οὐρανοὺς ἀνήγαγε τὸ ἀνθρώπινον, Χριστὸς ὁ Θεὸς καὶ σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις μαρτυρικῶν ἀπαρχή, ἀγωνισμάτων καὶ λαμπρὸν ἀκροθίνιον· τρανῶς γὰρ κηρύττων ὤφθης, τὸν ἐκ Παρθένου σεπτῆς, ἐκτμηθέντα λίθον τὸν ἀκρόγωνον, Χριστὸν καὶ τοῖς λίθοις, καταχωννύμενος ἔχαιρες, ὧν ἐπιβαίνων, οἱονεὶ ἐπὶ κλίμακος, καὶ μετάρσιος, γεγονὼς τεθεώρηκας, Στέφανόν σοι ὁμώνυμον, δεικνύοντα Στέφανε, τὸν εὐεργέτην ἑστῶτα, ἐκ δεξιῶν τῆς δυνάμεως, ὃν νῦν καταπέμψαι, ταῖς ψυχαῖς ἡμῶν δυσώπει, τὸ μέγα ἔλεος.

Στίχ. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτοῦ.

Δόξῃ στεφανωθεὶς καὶ τιμῇ, καὶ βασιλείας κοσμηθεὶς διαδήματι, Μαρτύρων τῆς ἀληθείας, ὡς ἀπαρχὴ γεγονώς, τῷ Δεσπότῃ πάντων προσενήνεξαι, Χριστῷ πλήρης χάριτος, καὶ δυνάμεως Στέφανε, ὃν ἱκετεύων, τοὺς πιστῶς εὐφημοῦντάς σε, καὶ τῇ θείᾳ σου, παρεστῶτας νῦν λάρνακι, δόξῃ τῇ σῇ στεφάνωσον, κινδύνων ῥυόμενος, καὶ θεραπεύων τὰς νόσους, καὶ χαλεπῶν ἐξαιρούμενος, παθῶν καὶ τῷ κόσμῳ, ἐξαιτούμενος εἰρήνην, καὶ μέγα ἔλεος.

Στίχ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα.

Πίστει τοὺς τῷ φαιδρῷ σου ναῷ, καὶ σεβασμίῳ, προσιόντας ὑπόδεξαι, καὶ πόθῳ προσερχομένους, καὶ διαθέσει ψυχῆς, τὰ πανσέπτῳ, θήκῃ τῶν λειψάνων σου, παθῶν ἀπαλλάττων, καὶ νοσημάτων πρωτόαθλε, καὶ εὐφροσύνης, ἐμπιπλῶν καὶ λαμπρότητος, τούτους ἅπαντας, παναοίδιμε Στέφανε· ἔμψυχον γὰρ στεφάνωμα, σὲ πάντες κεκτήμεθα, ἁγιωσύνῃ καὶ αἴγλῃ,

ἀγγελικῇ φαιδρυνόμενον, Χριστὸν δυσωποῦντα, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος πλ. α΄.

Δεῦτε προσπέσωμεν νοερῶς τῷ πανσέπτῳ λειψάνῳ τοῦ Πρωτομάρτυρος, δεῦτε μετ᾽ εὐλαβείας τοῦτο κατασπασώμεθα, καὶ ὡς ἐμψύχῳ διαλεξώμεθα λέγοντες· ὢ θησαυρὲ κοσμόπλουτε, ὁ ἐν τοῖς κόλποις τῆς γῆς κεκρυμμένος, καὶ σήμερον ἀνακαλυπτόμενος, ὢ μαργαρῖτα πολύτιμε, ὁ μενῶν ἀφανὴς ὡς ἐν ὀστρέῳ τῇ θήκῃ, νῦν σὲ τῷ κόσμῳ παντὶ φανερούμενος, ὡς ῥόδον βεβαμμένον σοῖς αἵμασιν, ἐκ τῆς γῆς ἀνεφύης, ὡς ἡδύπνοον κρίνον, εὐωδιάζεις, καὶ ὡς ἄνθος ἀμάραντον, τῶν πιστῶν τὰς καρδίας εὐφραίνεις, καὶ ἡμῖν ἐξαιτῇ πταισμάτων ἱλασμόν, τοῖς ἐκ πόθου τελοῦσι τὴν μνήμην σου.

Καὶ νῦν. Προεόρτιον, Ὁ Αὐτός.

Δεῦτε ἀναβῶμεν εἰς τὸ ὄρος Κυρίου, καὶ εἰς τὸν οἶκον τοῦ Θεοῦ ἡμῶν, καὶ θεασώμεθα τὴν δόξαν τῆς Μεταμορφώσεως αὐτοῦ, δόξαν ὡς μονογενοῦς

παρὰ Πατρός· φωτὶ προσλάβωμεν φῶς· καὶ μετάρσιοι γενόμενοι τῷ πνεύματι, Τριάδα ὁμοούσιον ὑμνήσωμεν εἰς τοὺς αἰῶνας.

Νῦν ἀπολύεις, Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

**Ἐ**κ γῆς ἀνατέταλκε, τὸ ἱερὸν καὶ σεπτόν, σοῦ Στέφανε λείψανον, κροκοειδεῖς ἀφιέν, ἀκτῖνας καὶ νάματα, βλύζον τῶν ἰαμάτων, καὶ ὀσμὴν ἀποπνέον, ἄῤῥητον καὶ γλυκεῖαν, τοῖς πιστῶς προσκυνοῦσι, καὶ κατασπαζομένοις αὐτό, μετ᾽ εὐλαβοῦς διαθέσεως.

Δόξα. Ἕτερον. Ὅμοιον.

**Β**ασίλειον διάδημα, ἐστέφθη σὴ κορυφή, ἐξ ἄθλων ὧν ὑπέμεινας, ὑπὲρ Χριστοῦ τοῦ Θεοῦ, Μαρτύρων πρωτόαθλε Στέφανε· σὺ γὰρ τὴν Ἰουδαίων, ἀπελέγξας μανίαν, εἶδές σου τὸν Σωτῆρα, τοῦ Πατρὸς δεξιόθεν. Αὐτὸν οὖν ἐκδυσώπει ἀεί, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

**Τ**ὸ ἀπ᾽ αἰῶνος ἀπόκρυφον, καὶ Ἀγγέλοις ἄγνωστον μυστήριον, διὰ σοῦ Θεοτόκε, τοῖς ἐπὶ γῆς πεφανέρωται· Θεός, ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος, καὶ Σταυρὸν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος· δι᾽ οὗ ἀναστήσας τὸν Πρωτόπλαστον, ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

Καὶ Ἀπόλυσις.

---

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.

Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

**Ὡ**ς θείαν σε πηγήν, τῶν θαυμάτων εὑρόντες, τὴν ῥῶσιν δαψιλῶς, οἱ νοσοῦντες πλουτοῦσιν, ἐν πίστει τοῖς λειψάνοις σου, Πρωτομάρτυς προστρέχοντες· σὺ γὰρ ἅγιε, τὰς δωρεὰς τοῦ Ὑψίστου, νέμεις ἅπασι, διακονεῖν εἰθισμένος, πανεύφημε Στέφανε.

Δόξα. Ἕτερον. Ὅμοιον.

**Ἀ**πόστολε Χριστοῦ, Διακόνων ὁ πρῶτος, Πρωτόαθλε σοφέ, τῶν Μαρτύρων ἀκρότης, ὁ κόσμου τὰ πέρατα, ἁγιάσας τοῖς ἄθλοις σου, καὶ τοῖς θαύμασι, ψυχὰς ἀνθρώπων λαμπρύνας, τοὺς τιμῶντάς σε, ῥῦσαι παντοίων κινδύνων, πανεύφημε Στέφανε.

Καὶ νῦν. Θεοτοκίον.

**Π**αρθένος ἀληθῶς, πρὸ τοῦ τόκου Παρθένε, Παρθένος ἀληθῶς, ἐν τῷ τόκῳ Παρθένε, Παρθένος ἀειπάρθενος, μετὰ τόκον διέμεινας, καὶ Παρθένον σε, ὁμολογοῦμεν Παρθένε, καὶ ἐλπίζομεν, ἐν σοὶ Παρθένε σωθῆναι, Παρθένων

τὸ καύχημα.

Μετὰ τὴν β´ Στιχολογίαν, Κάθισμα.

Ἦχος δ´. Ταχὺ προκατάλαβε.

**Φ**αιδρῶς ὑπαντήσωμεν, μετ᾽ εὐφροσύνης πιστοί, λαμπάδας ἀνάψαντες, τῶν ἀρετῶν νοητῶς, τῇ θείᾳ ἐλεύσει πιστῶς, σήμερον τοῦ πρωτάθλου, μυστικὴν εὐωχίαν, ἄγοντες εὐφρανθῶμεν, καὶ βοήσωμεν πάντες, πρεσβείαις σου πρωτομάρτυς, σῷζε τὴν ποίμνην σου.

Δόξα. Ἕτερον.

Ἦχος δ´. Ἐπεφάνης σήμερον.

**Ἐ**πεφάνη σήμερον ὁ πρωτομάρτυς, ἐκ τῆς γῆς ὡς ἥλιος, καὶ καταυγάζει νοητῶς, τοὺς ἐκ ψυχῆς ἀνακράζοντας, ὤφθη ἐφάνη, μαρτύρων ὁ Στέφανος.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

**Χ**αῖρε θρόνε πύρινε τοῦ βασιλέως, καὶ λυχνία πάγχρυσε, φωτὸς τοῦ θείου τὰς ψυχάς, καὶ διανοίας λαμπρύνουσα, τῶν ἀνυμνούντων, σὲ Κόρη πανύμνητε.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.

Ἦχος δ´. Κατεπλάγη Ἰωσήφ.

**Κ**εκρυμμένην ὑπὸ γῆν, ἔτεσι πλείστοις τὴν σεπτήν, πολυπλβον σορόν, σοῦ φανεροῖς ἐπιφανεῖς, Λουκιανῷ τῷ πρεσβυτέρῳ καὶ Ἰωάννῃ, εὑρόντες δὲ αὐτὴν ἐν εὐφροσύνῃ πολλῇ, σὺν φόβῳ καὶ χαρᾷ κατησπάζοντο, καὶ οὐρανόθεν Ἄγγελοι ἐβόων· Δόξα ἐν ὑψίστοις λέγοντες, ἡμεῖς δὲ πόθῳ, νῦν ἐκτελοῦμεν, τὸ ἱερόν σου μνημόσυνον.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

**Κ**ατεπλάγη Ἰωσήφ, τὸ ὑπὲρ φύσιν θεωρῶν, καὶ ἐλάμβανεν εἰς νοῦν, τὸν ἐπὶ πόκον ὑετόν, ἐν τῇ ἀσπόρῳ συλλήψει σου Θεοτόκε, βάτον ἐν πυρὶ ἀκατάφλεκτον, ῥάβδον Ἀαρὼν τὴν βλαστήσασαν· καὶ μαρτυρῶν ὁ μνήστωρ σου καὶ φύλαξ, τοῖς ἱερεῦσιν ἐκραύγαζε· Παρθένος τίκτει, καὶ μετὰ τόκον, πάλιν μένει παρθένος.

Οἱ Ἀναβαθμοί· τὸ α´ Ἀντίφωνον τοῦ δ´ ἤχου.

Προκείμενον.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ καὶ
εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτοῦ.

Στίχ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν
δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα.

Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ματθαῖον (κα΄ 33-42).
*(Ζήτει τῇ Κυριακῇ ΙΓ΄ ἑβδομάδος Ματθαίου).*

Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· ἄνθρωπος τις ἦν οἰκοδεσπότης, ὅστις ἐφύτευσεν ἀμπελῶνα καὶ φραγμὸν αὐτῷ περιέθηκε καὶ ὤρυξεν ἐν αὐτῷ ληνὸν καὶ ᾠκοδόμησεν πύργον, καὶ ἐξέδοτο αὐτὸν γεωργοῖς, καὶ ἀπεδήμησεν. Ὅτε δὲ ἤγγισεν ὁ καιρὸς τῶν καρπῶν, ἀπέστειλε τοὺς δούλους αὐτοῦ πρὸς τοὺς γεωργοὺς λαβεῖν τοὺς καρποὺς αὐτοῦ. Καὶ λαβόντες οἱ γεωργοὶ τοὺς δούλους αὐτοῦ ὃν μὲν ἔδειραν, ὃν δὲ ἀπέκτειναν, ὃν δὲ ἐλιθοβόλησαν. Πάλιν ἀπέστειλεν ἄλλους δούλους πλείονας τῶν πρώτων, καὶ ἐποίησαν αὐτοῖς ὡσαύτως. Ὕστερον δὲ ἀπέστειλε πρὸς αὐτοὺς τὸν υἱὸν αὐτοῦ λέγων· ἐντραπήσονται τὸν υἱόν μου. Οἱ δὲ γεωργοὶ ἰδόντες τὸν υἱὸν εἶπον ἐν ἑαυτοῖς· οὗτός ἐστιν ὁ κληρονόμος· δεῦτε ἀποκτείνωμεν αὐτὸν καὶ κατάσχωμεν τὴν κληρονομίαν αὐτοῦ. Καὶ λαβόντες αὐτὸν ἐξέβαλον ἔξω τοῦ ἀμπελῶνος καὶ ἀπέκτειναν. Ὅταν οὖν ἔλθῃ ὁ κύριος τοῦ ἀμπελῶνος, τί ποιήσει τοῖς γεωργοῖς ἐκείνοις; Λέγουσιν αὐτῷ· Κακοὺς κακῶς ἀπολέσει αὐτούς, καὶ τὸν ἀμπελῶνα ἐκδώσεται ἄλλοις γεωργοῖς, οἵτινες ἀποδώσουσιν αὐτῷ τοὺς καρποὺς ἐν τοῖς καιροῖς αὐτῶν. Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Οὐδέποτε ἀνέγνωτε ἐν ταῖς γραφαῖς, λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας· παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν;

Ὁ Ν΄ Ψαλμός.

Δόξα.

Ταῖς τοῦ Πρωτοάθλου, πρεσβείαις, Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν.

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις, Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Ἰδιόμελον. Ἦχος πλ. β΄.

Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ὁ τῶν χαρίτων δίκαιος βραβευτής, Χριστὸς ὁ Θεός, θέλων δεῖξαι τοῖς ἐπὶ γῆς, οἵας δόξης ἠξίωσεν ἐν οὐρανοῖς, τὸ ἱερώτατον πνεῦμά σου, Στέφανε μακάριε, πολλοῖς καὶ ποικίλοις χαρίσμασι, κατεκόσμησε σοῦ τὸ σεβάσμιον λείψανον, ἀναδείξας τοῦτο νόσων ἀλεξιτήριον, δαιμόνων φυγαδευτήριον, τῶν ἐν λύπαις παραμυθίαν, τῶν ἐν πειρασμοῖς σωτηρίαν, καὶ τῶν ἐν κινδύνοις ἀκαταίσχυντον προστασίαν, ἀλλὰ μετάδος τῶν καλῶν τούτων καὶ ἡμῖν, τοῖς τῷ ναῷ σου προσεδρεύουσι πάντοτε, καὶ τὸ σὸν τιμῶσι πολυπόθητον ὄνομα.

Οἱ Κανόνες· πρῶτον τῆς Θεοτόκου μετὰ τῶν εἱρμῶν εἰς ϛ´
καὶ τοῦ Ἁγίου ὁ ἐν τῷ Μηναίῳ εἰς η´.

Ὁ Κανὼν τῆς Θεοτόκου. Ποίημα Θεοφάνους,
ὡς ὁρᾶται ἐν τοῖς ὑστέροις Θεοτοκίοις.

Ὠδὴ α´. Ἦχος πλ. δ´. Ὁ εἱρμός.

**Ἀ**ρματηλάτην φαραὼ ἐβύθισε * τερατουργοῦσα ποτὲ * Μωσαϊκὴ ῥάβδος, * σταυροτύπως πλήξασα * καὶ διελοῦσα θάλασσαν, * Ἰσραὴλ δὲ φυγάδα * πεζὸν ὁδίτην διέσωσεν, * ᾆσμα τῷ Θεῷ αναμέλποντα.

Τροπάρια.

**Ἀ**πὸ χειλέων ῥυπαρῶν ἐφύμνιον, δέξαι νῦν μόνη Ἁγνή, ὡς πρὶν ὁ Υἱός σου, ὁ Θεὸς καὶ πλάστης μου, τῆς χήρας κατεδέξατο τὰ λεπτά, καὶ τὴν λύσιν τῶν ὀφλημάτων παράσχου μοι, ἵνα κατὰ χρέος γεραίρω σε.

**Λ**όγον Θεοῦ σωματωθέντα τέτοκας, τὸν πρὶν ἀσώματον, θεανδρικῶς κόσμῳ συναναστρεφόμενον· ὑπερφυῶς Πανάμωμε, Θεοτόκε Μαρία, διό σε πάντες γεραίρομεν, καὶ χρεωστικῶς μακαρίζομεν.

**Τ**ὸ Θεοτόκον σε κηρύττειν ἄχραντε, πάσης αἱρέσεως ἀποτροπὴν φέρει, σάρκα γὰρ γενόμενον, ἀναλλοιώτως τέτοκας, τὸν ἐπέκεινα φύσει, θεογεννῆτορ τῆς κτίσεως, Λόγον τοῦ Θεοῦ τὸν ἀΐδιον.

**Θ**εοκυῆτορ Μαριὰμ θεώσεως, τετύχηκε διὰ σοῦ, ἡ ταπεινὴ φύσις τῶν βροτῶν καὶ ῥέουσα, ἐν σοὶ γὰρ νυμφευσάμενος, ὁ Θεός μου τὴν σάρκα, ἐνυποστάτως ἐλάμπρυνε, καὶ εἰς οὐρανοὺς ἀνεβίβασε.

Ὁ Κανὼν τοῦ Ἁγίου, οὗ ἡ Ἀκροστιχίς·
Ἄσμασι τὸν πρῶτον τῶν Μαρτύρων
εὖ στεφανώσω. Θεοφάνους.

Ὠδὴ α´. Ἦχος πλ. δ´. Ἀρματηλάτην Φαραώ.

**Ἀ**κτινοβόλοις ἀστραπαῖς τοῦ Πνεύματος, καταλαμπόμενος, ὑπερφυῶν ἄθλων, καὶ στεῤῥᾶς ἀθλήσεως, τοὺς σὲ ὑμνοῦντας φώτισον, παρεστὼς τῷ Δεσπότῃ, στεφανηφόρος πανόλβιε, Στέφανε Μαρτύρων στεφάνωμα.

**Σ**ταδιοδρόμων ἀπαρχὴ γενόμενος, καὶ ἀκροθίνιον, μαρτυρικοῦ στέφους, καθορᾶν ἠξίωσαι, τὸν ἀθλοθέτην ἔνδοξε, δεξιᾷ ζωηφόρῳ, θεόπλοκόν σοι προτείνοντα, στέφανον θεσπέσιε Στέφανε.

**Μ**όνος ὑπάρχων θησαυρὸς χρηστότητος, Σῶτερ ἀνέδειξας, ἐκ τῶν τῆς γῆς κόλπων, θησαυρὸν πολύτιμον, πλοῦτον μὴ δαπανώμενον, ἀναφαίρετον ὄλβον, περιουσίαν ἀνώλεθρον, Στέφανον τὸν σὸν Πρωτομάρτυρα.

**Ἀ**γγελομόρφῳ προφανῶς λαμπρότητι, καταυγαζόμενος, ἀγγελικοῖς ὕμνοις, Πρωτομάρτυς Στέφανε, καὶ Διακόνων Πρόκριτε, κεκρυμμένος ὡς ὤφθης, ἀξίως ὄντως τετίμησαι, ἔνδοξε Μαρτύρων ἀγλάϊσμα.

Θεοτοκίον.

Σωματωθέντα δι᾽ ἡμᾶς Πανάμωμε, τὸν πρὶν ἀσώματον, θεαρχικὸν Λόγον, τοῦ Πατρὸς γεγέννηκας. Ὢ παρθενίας σκήνωμα, καὶ δοχεῖον ἁγνείας, καὶ τέμενος καθαρότητος, Δέσποινα τοῦ κόσμου Θεόνυμφε!

Ἕτερος τοῦ Ἁγίου. Ὠδὴ α΄.
Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.

Ἀξίως ὑμνῆσαί σε λόγον μοι ἔμπνευσον ἅγιε, καὶ ᾆσαι ἐνίσχυσον, τὴν ἀσθενῆ μου ψυχήν, τὴν μετάθεσιν, τοῦ θείου σου λειψάνου, ὁμοῦ καὶ τὰ θαύματα, ἅπερ ἐτέλεσας.

Ὡς λίθος πολύτιμος, ὡς μαργαρίτης λαμπρότατος, ἐν γῇ κατεκρύπτετο, τὸ θεῖον σῶμά σου, ἀλλ᾽ ἐξέλαμψεν, ἀκτῖνας ἀποστίλβον, πληθὺν τῶν ἰάσεων, ἔνδοξε Στέφανε.

Μεγάλων χαρίτων σε, ὁ Ἰησοῦς κατηξίωσε, πρωτόαθλε Στέφανε, ἔτι γὰρ ὢν ἐν σαρκί, ἐθεώρησας, Πατρὸς αὐτοῦ τὴν δόξαν, ἧς ἐπαπολεύεις νῦν ἀγαλλώμενος.

Θεοτοκίον.

Ὡς κάρμηλος πέφυκεν, ἡ κεφαλή σου θεόνυμφε, καὶ αὐτῆς τὸ πλόκιον πορφύρα πέφυνε, καὶ ἐμπέπλησται, αὐτῆς τῆς θείας δρόσου, Σολομὼν ὁ πάνσοφος, ὡς ᾀσματίζει σοι.

Καταβασία.

Χοροὶ Ἰσραήλ, ἀνίκμοις ποσί, πόντον ἐρυθρόν, καὶ ὑγρὸν βυθὸν διελάσαντες, ἀναβάτας, τριστάτας, δυσμενεῖς ὁρῶντες ἐν αὐτῷ ὑποβρυχίους, ἐν ἀγαλλιάσει ἔμελπον· Ἄσωμεν τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασται.

Τῆς Θεοτόκου. Ὠδὴ γ΄.
Ἦχος πλ. δ΄. Ὁ εἱρμός.

Ὁ στερεώσας κατ᾽ ἀρχὰς * τοὺς οὐρανοὺς ἐν συνέσει * καὶ τὴν γῆν ἐπὶ ὑδάτων ἑδράσας, * ἐν τῇ πέτρᾳ με, Χριστέ, * τῶν ἐντολῶν σου στήριξον, * ὅτι οὐκ ἔστι πλήν σου * ἅγιος, μόνε φιλάνθρωπε.

Τροπάρια.

Πύλη ἐδείχθης νοητή, Ἀνατολῆς τῆς ἐξ ὕψους, ἐν τῇ γῇ φανερωθείσης Παρθένε· διὰ σοῦ γὰρ πρὸς ἡμᾶς, ὁ Λόγος εἰσελήλυθεν ἐπὶ τῷ σῶσαι πάντας, τῆς ἀλογίας Πανάχραντε.

Ῥάβδον βλαστήσασαν Χριστόν, τὸ ἄνθος τῆς ἀφθαρσίας, καὶ χρυσοῦν θυμιατήριον πάντες, σὲ γινώσκομεν ἁγνή, θείας οὐσίας φέρουσαν, ἐν ταῖς ἀγκάλαις Κόρη, ἄνθρακα θεοχαρίτωτε.

Σωτηριώδους δι᾽ ἡμᾶς, τοῦ Λόγου οἰκονομίας, φωτεινὴ σὺ Μητροπάρθενε Πύλη ἐγνωρίσθης ἀληθῶς· σὺ γὰρ ἡμῖν, ἐπήγαγες, τὴν νοητὴν ἀκτῖνα τῆς ὑπερθέου Θεότητος.

Ἐπὶ τὴν ἄχραντον νηδύν, ὡς ὑετὸς ἐπὶ πόκον, σοῦ κατέβη ὁ Θεός μου Παρθένε, καὶ ἐδρόσισεν ἡμᾶς, τοὺς ἐκτακέντας καύσωνι, τῆς ἁμαρτίας δρόσῳ, φιλανθρωπίας καὶ χάριτος.

Τοῦ Ἁγίου. Ὠδὴ γ΄.
Ἦχος πλ. δ΄. Ὁ στερεώσας κατ᾽ ἀρχάς.

Ἱερολόγος ἱερός, καὶ θεολόγος ἐδείχθης συμπλεκόμενος Ἑβραίων τοῖς δήμοις, διελέγχων ἀσφαλῶς, τὴν τούτων ἀθεότητα, καὶ θεομάχον γνώμην, Στέφανε μάρτυς πανάριστε.

Τὸν Πρωτομάρτυρα Χριστοῦ, καὶ Διακόνων τὸν πρῶτον, τὸν τοῖς Μάρτυσι τοῦ δρόμου τὴν νύσσαν, ὑποδείξαντα λαμπρῶς, Ἀγγέλων τὸν συνόμιλον, δεῦτε συμφώνως πάντες, ὕμνοις ἐνθέοις τιμήσωμεν.

Ὁ κεκρυμμένος θησαυρός, ὑπὸ τὴν γῆν φανεροῦται, καὶ τὸν κόσμον εὐωδίας ἐνθέου, καὶ πλουσίων δωρεῶν, τὴν Ἐκκλησίαν ἔπλησεν, ὁ τῶν Μαρτύρων πρῶτος, τῶν Διακόνωνο πρόκριτος.

Θεοτοκίον.

Πύλη ἐδείχθης νοητή, ἀνατολῆς τῆς ἐξ ὕψους, τῆς ἐν γῇ φανερωθείσης Παρθένε· διὰ σοῦ γὰρ πρὸς ἡμᾶς, ὁ Λόγος εἰσελήλυθεν, ἐπὶ τῷ σῶσαι πάτας, τῆς ἀλογίας Παάχραντε.

Ἕτερος. Ὠδὴ γ΄.
Ἦχος δ΄. Τοὺς σοὺς ὑμνολόγους.

Φωναὶ οὐρανόθεν ὑπ᾽ Ἀγγέλων, ἠκούοντο ᾄδουσαι τρανῶς, ἐν τοῖς ὑψίστοις δόξα σοι, Θεῷ τῷ Παντοκράτορι, σεισμὸς δὲ μέγας γέγονεν, ἀνορυγμένου τοῦ τάφου σου.

Ὡς λίθους φαιδροὺς καὶ μαργαρίτας, σορὸν καὶ τὴν κόνιν σοῦ σοφέ, ἡ Ἐκκλησία φέρουσα, στεφάνῳ καλλωπίζεται, στεφανηφόρε Στέφανε, σὲ ἐγκωμίοις γεραίρουσα.

Δοξάζων ὁ πάντων σε Δεσπότης, καθὼς σὺ ἐδόξασας αὐτόν, φρικτὰ τελεῖ θαυμάσια, ἐν τῇ εὑρέσει ἅγιε, τοῦ ἱεροῦ λειψάνου σου, ἀξιοθαύμαστε Στέφανε.

Θεοτοκίον.

Οἱ σοὶ ὀφθαλμοὶ Παρθενομῆτορ, ἐδείχθησαν ὡς περιστεραί, αἱ λελουμέναι γάλακτι, καὶ λίμναι ὡς λαμπρόταται, δι᾽ ὧν περ ἐκαρδίωσας, Κόρη τῆς δόξης τὸν Κύριον.

Καταβασία.

Τόξον δυνατῶν ἠσθένησε, κι οἱ ἀδυνατοῦντες, περιεζώσαντο δύναμιν· διὰ τοῦτο ἐστερεώθη ἐν Κυρίῳ ἡ καρδία μου.

Κάθισμα. Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Δεξιᾶς σου ἡ θήκη πρωταθλητά, ἰατρεῖον ὑπάρχει πνευματικόν, ζωῆς ξύλον ἄφθαρτον, καὶ τρυφῆς ὁ παράδεισος, τὸ ἀμαλθείας κέρας, ταμεῖον κασμόπλουτον, ἡ κιβωτὸς χαρίτων, πασῶν τῶν τοῦ Πνεύματος, ὀσμὴ δὲ ἡ ἐκ ταύτης, τὰ ἀρώματα πάντα, ἐστὶν ὑπερβαίνουσα, νάρδον κρόκον καὶ κάλαμον. Διὰ τοῦτο βοῶμέν σοι· χάρισαι ἡμῖν νοητῶς, τούτων πάντων μάκαρ τὰς ποιότητας, τοῖς μετὰ πόθου τιμῶσι, τὴν πάνσεπτον χεῖρά σου.

Δόξα. Ἕτερον. Ἦχος α΄. Χορὸς ἀγγελικός.

Εὐφράνθη εὐσεβῶς, ἡ βασίλειος πόλις, τῇ ἀνακομιδῇ, τοῦ σεπτοῦ σου λειψάνου, καὶ τοῦτο θησαύρισμα, μαργαρίτην ὡς ἔντιμον, χάριν ἄφθονον, τῶν ἰαμάτων προέχει, τοῖς ὑμνοῦσι σοῦ, τὴν παναοίδιμον μνήμην, πρωτόαθλε Στέφανε.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Ἡμέρα μυστική, ἀνεδείχθης Παρθένε, καὶ Ἥλιον Χριστόν, καταυγάζουσα πᾶσι, τοῖς ζόφῳ ἀπογνώσεως, καθημένοις Θεόνυμφε, ὅθεν ἅπαντες, οἱ διὰ σοῦ φωτισθέντες, μακαρίζομεν, χρεωστικῶς ὡς ἀτίαν, βροτῶν ἀναπλάσεως.

Τῆς Θεοτόκου. Ὠδὴ δ΄.
Ἦχος πλ. δ΄. Ὁ εἱρμός.

Σύ μου ἰσχύς, * Κύριε, σύ μου καὶ δύναμις, * σὺ Θεός μου, * σύ μου ἀγαλλίαμα, * ὁ πατρικοὺς κόλπους μὴ λιπὼν * καὶ τὴν ἡμετέραν * πτωχείαν ἐπισκεψάμενος· * διὸ σὺν τῷ προφήτῃ * Ἀββακοὺμ σοι κραυγάζω· * τῇ δυνάμει σου δόξα, φιλάνθρωπε. (δίς)

Τροπάρια.

Σὺ ἀληθής, τῆς σωτηρίας ὑπόθεσις, θεομῆτορ, μόνη ἐχρημάτισας, τῷ Ποιητῇ καὶ Δημιουργῷ, ἐκ τῶν σῶν ἀχράντων, αἱμάτων σάρκα δανείσασα, δι᾽ ἧς αἱ τοῦ θανάτου συνετρίβησαν πύλαι, καὶ ζωὴ τοῖς ἀνθρώποις δεδώρηται.

Νεοθαλής, ἀθανασίας Παράδεισος, καὶ ὡραῖος, ὄντως ἀναδέδειξαι, ξύλον ζωῆς ἐν σοὶ φυτευθέν, θεαρχικωτάτως, κυοφοροῦσα καὶ τίκτουσα, τὸ πᾶσιν ἀποστάζον, ζωηφόρους ἐλπίδας, τοῖς πιστῶς Θεοτόκον φρονοῦσί σε.

Δαυϊτικῆς, ἐκ βασιλίδος βλαστήσασα, συγγενείας, τὸν παμβασιλεύοντα, καὶ πρὸ αἰώνων ἐκ τοῦ Πατρός, Λόγον ἀποῤῥήτως, καὶ ὑπὲρ νοῦν ἀναλάμψαντα, ἐγέννησας Παρθένε, Θεοτόκον διό σε, θεοφρόνως πιστοὶ καταγγέλλομεν.

Ὁ Πλαστουργός, ἐκ τοῦ αἰῶνός σε εὕρατο, ἐν κοιλάδι κρῖνον καθαρώτατον, ταῖς ἀρεταῖς λάμπουσαν σεμνή, βάθει τῆς ἁγνείας, εὐρύτητι τῆς σεμνότητος, καὶ ὕψωσε τὴν φύσιν, τῶν ἀνθρώπων διό σε, ὡς Μητέρα τοῦ Κτίστου δοξάζομεν.

Τοῦ Ἁγίου. Ὠδὴ δ΄.
Ἦχος πλ. δ΄. Σύ μου ἰσχύς, Κύριε.

Ῥεῖθρον ἡμῖν, σήμερον μύρου ἀνέβλυσεν, εὐωδίας, κρήνη ἐκπεπόρευται, καὶ ποταμὸς θείων ἀγαθῶν, καὶ τρυφῆς χειμάῤῥους, ἐπέκλυσεν ὁ ἀοίδιμος, ὁ πρῶτος τῶν Μαρτύρων, ὁ τῆς πίστεως πλήρης, καὶ δυνάμεως θείας καὶ χάριτος.

Ὡς ἱερά, καὶ φαιδροτάτη καὶ εὔσημος, ἡ ἡμέρα, ἡ τοῦ Πρωτομάρτυρος, πλήρης φωτὸς καὶ πνευματικῆς, ὄντως εὐφροσύνης, τῇ Βασιλίδι ἐπέφανε, φυλάττουσα τὸ κράτος, τῆς σεπτῆς Ἐκκλησίας, καὶ βαρβάρων τὸ θράσος διώκουσα.

Τὴν ἀγαθήν, κληρονομίαν ἀπείληφας, ἐπαξίως, Στέφανε μακάριε, ἔνθα Χριστὸς ὁ παμβασιλεύς, σὺ κατασκηνώσας· αὐτοῦ γὰρ ὤφθης Διάκονος, σημείων καὶ τεράτων, ἐκτελῶν τὰς δυνάμεις, καὶ παρέχων νοσοῦσι τὴν ἴασιν.

Ὁ ἀκλινής, τῆς Ἐκκλησίας καὶ ἄσειστος, καὶ ἑδραῖος, στῦλος ἀνατέταται, ἀπὸ τῆς γῆς ἕως οὐρανοῦ, αἴγλῃ εὐσεβείας, φωτίζων πάντα τὰ πέρατα, ὁ Στέφανος ὁ μέγας, ἀληθείας ὁ κήρυξ, τῆς ἀθλήσεως ὄντως ὁ πρόβολος.

Θεοτοκίον.

Νέος Ἀδάμ, διὰ τὸν πρῶτον σὺ γέγονας, ἐκ Παρθένου, διὰ τὴν Προμήτορα, ὁ Λυτρωτὴς πάντων καὶ Σωτήρ, κατὰ τοῦ θανάτου, ζωὴ ἡ ὄντως ἀθάνατος· διό σε τὴν τεκοῦσαν, Θεοτόκον εἰδότες, ἐπαξίως αὐτὴν μακαρίζομεν.

Ἕτερος. Ὠδὴ δ΄.
Ἦχος δ΄. Τὴν ἀνεξιχνίαστον.

Αἶνον ἀναπέμποντες πρὸς τὸν Θεόν, μετὰ ἀρωμάτων καὶ πίστεως, καὶ θεῖον ὕμνον, οἱ πιστοὶ ἀρχιερεῖς, τὸ ἱερόν σου λείψανον, πόλει ἐν ἁγίᾳ κατέθεντο.

Δαίμονας ἐμάστιζεν ἐν τῇ ὁδῷ, σοῦ τὸ ἱερώτατον λείψανον, οἳ καὶ ἐβόων τὸ οὐαί, ἡ δὲ γυνή, ἐκπληττομένη ἔκραζε· δόξα τῇ δυνάμει σου Κύριε.

Χάριν τῶν ἰάσεων πεπλουτηκώς, παρὰ τοῦ Σωτῆρος πανεύφημε, πάθη ποικίλα, ἀφ᾽ ἡμῶν ἀποσοβείς, τῶν ἐκ ψυχῆς τελούντων σου, μνήμην τὴν ἁγίαν πρωτόαθλε.

Θεοτοκίον.

Ὦτά σου τὰ θεῖα Παρθένε ἁγνή, τῆς φωνῆς ἀκούοντα πάντοτε, ἦσαν προθύμως, τοῦ καλοῦ ἀδελφιδοῦ, καὶ ἡ ψυχή σου Δέσποινα, λόγῳ τῷ αὐτοῦ συνεξήρχετο.

Καταβασία.

Εἰσακήκοα τὴν ἔνδοξον οἰκονομίαν σου, Χριστὲ ὁ Θεός, ὅτι ἐτέχθης ἐκ τῆς Παρθένου, ἵνα ἐκ πλάνης ῥύσῃ τοὺς βοῶντάς σοι· Δόξα τῇ δυνάμει σου

Κύριε.

Τῆς Θεοτόκου. Ὠδὴ ε΄.
Ἦχος πλ. δ΄. Ὁ εἱρμός.

Ἵνα τί με ἀπώσω * ἀπὸ τοῦ προσώπου σου * τὸ φῶς τὸ ἄδυτον, * καὶ ἐκάλυψέ με * τὸ ἀλλότριον σκότος τὸν δείλαιον; * ἀλλ᾽ ἐπίστρεψόν με * καὶ πρὸς τὸ φῶς τῶν ἐντολῶν σου * τὰς ὁδούς μου κατεύθυνον, δέομαι. (δίς)

Τροπάρια.

Στρατηγίαι τῶν ἄνω, πάναγνε Δυνάμεων σὲ μακαρίζουσι· γενεαὶ δὲ πᾶσαι, τῶν ἀνθρώπων ἀξίως δοξάζουσι· διὰ σοῦ γὰρ μόνης, οἱ ἐπὶ γῆς τοῖς οὐρανίοις, συναφθέντες ὑμνοῦμεν τὸν τόκον σου.

Τὴν ἀθάνατον φύσιν, ἡ θνητὴ παρέδραμεν εἰς ἁγιότητα, καὶ παρθένος Κόρη, τοὺς ἀσάρκους Ἀγγέλους παρήλασεν· ὡς Θεὸν τεκοῦσα, τὸν Βασιλέα τῶν Ἀγγέλων· ᾧ προσβλέπειν ἐκείνοις ἀδύνατον.

Τῶν πιστῶν ἡ προστάτις, τεῖχος ἀκατάληπτον τῶν εὐφημούντων σε, ἡ παντὶ τῷ γένει, τῶν ἀνθρώπων φανεῖσα σωτήριος, ὡς Θεὸν τεκοῦσα, σωματικῶς ἐπιφανέντα, τὴν ψυχήν μου διάσωσον Πάναγνε.

Φωτεινήν σε νεφέλην, φέρουσαν τὸν ἄδυτον ἥλιον Δέσποινα, οἱ βροτοὶ εἰδότες, ἀνυμνοῦμεν καὶ πόθῳ γεραίρομεν, τὴν γὰρ ἀμορφίαν, τὴν ἐν Ἀδὰμ ἀμαυρωθεῖσαν, ἀνεμόρφωσας θείαις λαμπρότησιν.

Τοῦ Ἁγίου. Ὠδὴ ε΄.
Ἦχος πλ. δ΄. Ἵνα τί με ἀπώσω.

Τῶν ἀνόμων Ἑβραίων, τὸ τῆς ματαιότητος ὄντως συνέδριον, καρτερῶς ἐλέγξας, ὑπ᾽ αὐτῶν θεηγόρε χωννύμενος, ταῖς βολαῖς τῶν λίθων, εἰς οὐρανοὺς ὡς νικηφόρος, ἀνυψώθης τῷ πνεύματι Στέφανε.

Ὡς ὡραῖος ὡς ὄρθρος, κόσμῳ πεφανέρωσαι ἔνδοξε Στέφανε, τὴν ἀχλὺν διώκων, καὶ δαιμόνων ἐλαύνων τὰ φάσματα, καὶ νοσούντων πάθη, καὶ ψυχικῶν ἀῤῥωστημάτων, θεραπεύων τὰ ἕλκη θεόπνευστε.

Νοερῶς σὺν Ἀγγέλοις, μάκαρ ἀγαλλόμενος κόσμου τὰ πέρατα, ἁγιάζεις ὄντως, τῇ σῇ ἐπιδημίᾳ καὶ χάριτι, εὐωδίας μύροις, πνευματικοῖς εὐωδιάζων, καὶ κινδύνων καὶ ζάλης ῥυόμενος.

Θεοτοκίον.

Μητρικὴν παῤῥησίαν, τὴν πρὸς τὸν Υἱόν σου κεκτημένη Πάναγνε, συγγενοῦς προνοίας, τῆς ἡμῶν μὴ παρίδῃς δεόμεθα, ὅτι σὲ καὶ μόνην, χριστιανοὶ πρὸς τὸν Δεσπότην, ἱλασμὸν εὐμενῆ προβαλλόμεθα.

Ἕτερος. Ὠδὴ εʹ.
Ἦχος δʹ. Ἐξέστη τὰ σύμπαντα.

Ναόν σοι ἐδεδείματο, ὁ εὐσεβὴς Ἀλέξανδρος, πάγκαλον πρωτόαθλε Κυρίου, ὅνπερ ἀνέδειξας ἐν τοῖς θαύμασι, δεύτερον ὡς ἄλλον Σιλωάμ, πᾶσι χαριζόμενος, τὰς ἰάσεις ἑκάστοτε.

Νῦν θαῦμα ἐξαίσιον, τελεῖται, καὶ παράδοξον, ὡς ἐν Βαλαάμ ποτε τῷ μάντει καὶ γὰρ ἐφώνησεν ἡ ἡμίονος, φωνῇ ἀνθρωπίνῃ καὶ βοᾷ, ὧδε τὴν κατάθεσιν, τοῦ λειψάνου ποιήσατε.

Πανσέπτου λειψάνου σου, τῇ ἐκφορᾷ πρωτόαθλε, ὕμνος ἐξηκούετο ἐκ πόλου, θεοπρεπής τε καὶ χαριέστατος, ὥσπερ ἐκχυθέντος δὲ πολὺ μύρου πάντας ἔπλησεν εὐωδία οὐράνιος.

Θεοτοκίον.

Μυκτήρ σου πανάμωμε, πύργος λιβάνου γέγονε, Δαμασκοῦ τὸ πρόσωπον σκοπεύων, τῆς ἐναντίας ἀεὶ δυνάμεως, καὶ ὀσμὴ ῥινός σου ἀληθῶς, κόσμον εὐωδίασεν, ὥσπερ μῆλα πανεύοσμα.

Καταβασία.

Ὁ τοῦ φωτὸς διατμήξας, τὸ πρωτόγονον χάος, ὡς ἐν φωτὶ τὰ ἔργα ὑμνεῖ σε Χριστὲ, τὸν Δημιουργόν, ἐν τῷ φωτί σου, τὰς ὁδοὺς ἡμῶν εὔθυνον.

Τῆς Θεοτόκου. Ὠδὴ ϛʹ.
Ἦχος πλ. δʹ. Ὁ εἱρμός.

Ἱλάσθητί μοι, Σωτήρ· * πολλαὶ γὰρ αἱ ἀνομίαι μου· * καὶ ἐκ βυθοῦ τῶν κακῶν * ἀνάγαγε, δέομαι· * πρὸς σὲ γὰρ ἐβόησα· * καὶ ἐπάκουσόν μου, * ὁ Θεὸς τῆς σωτηρίας μου.

Τροπάρια.

Ὁ θρόνος ὁ τοῦ Θεοῦ, τῶν Χερουβὶμ ὁ ὑπέρτερος, νεφέλη ἡ τοῦ φωτός, ψυχῆς μου τὰ ὄμματα, Παναγία φώτισον, καὶ παθῶν ἀχλύος, τὴν καρδίαν μου καθάρισον.

Ἡ Μήτηρ τοῦ Λυτρωτοῦ, καὶ τῶν κτισμάτων Βασίλισσα, αἰχμαλωσίᾳ δεινῇ, ληφθέντα με λύτρωσαι, Μαρία πανάμωμε, καὶ τῆς Βασιλείας, τοῦ Υἱοῦ σου με ἀξίωσον.

Ἡ κλῆσίς σου ἀληθῶς, ψυχῶν ὑπάρχει καθάρσιον, καὶ ῥυπαρῶν λογισμῶν, ἐστὶν ἐλατήριον, καὶ φυγαδευτήριον, πονηρῶν πνευμάτων, Θεοτόκε Ἀειπάρθενε.

Ἀσμάτων ᾆσμα σὺ εἶ, Θεοχαρίτωτε Δέσποινα, Ἀγγέλων ἡ καλλονή, βροτῶν ἡ ἀνάκλησις, Θεὸν γὰρ ἐγέννησας, σεσωματωμένον τὸν τὰς φύσεις μεταλλάττοντα.

Τοῦ Ἁγίου. Ὠδὴ ϛ΄.
Ἦχος πλ. δ΄. Ἱλάσθητί μοι, Σωτήρ.

Ἀγγέλων ὡς μιμητής, τῇ προαιρέσει γενόμενος, τὸ εἶδος ἀγγελικόν, ἐκτήσω μακάριε· μεθ᾽ ὧν ἀγαλλόμενος, καὶ περιπολεύων, τοὺς ὑμνοῦντάς σε περίσῳζε.

Ῥημάτων μάκαρ τῶν σῶν, τῶν θεοπνεύστων ἡ δύναμις, ὡς ἦχος ὁ τῆς βροντῆς, τὰ ὦτα θεόληπτε, σαφῶς κατεβρόντησε, τὰ τῶν παρανόμων, καὶ τὰς ὄψεις ἀπημαύρωσε.

Τὴν δόξαν τὴν πατρικήν, θεάσασθαι κατηξίωσαι, καὶ ταύτης τὸ συμφυές, ἀπαύγασμα Στέφανε, τῶν ἄθλων μηνῦόν σοι, τοὺς λαμπροὺς στεφάνους, θεηγόρε πανσεβάσμιε.

Θεοτοκίον.

Υἱὸς ὁ μονογενής, ὁ πρὸ αἰώνων ἀόρατος, ἐσχάτων ἐφ᾽ ἡμερῶν, πρωτότοκος γέγονεν, ὁρώμενος σώματι, ἐκ σοῦ Θεομῆτορ, ὁ Θεὸς τῆς σωτηρίας μου.

Ἕτερος. Ὠδὴ ϛ΄.
Ἦχος δ΄. Τὴν θείαν ταύτην.

Ὡς πλοῦτον μὴ δαπανώμενον, ὡς ὄλβον ἀναφαίρετον δέδωκας, σοῦ τὸ πανσεβάσμιον, καὶ ἱερώτατον λείψανον τῇ βασιλίδι μάκαρ, πασῶν τῶν πόλεων.

Πλήρης δυνάμεως γέγονας, καὶ ζῶν καὶ μετὰ πότμον ἀοίδιμε, καὶ γὰρ μὴ φέροντα τῆς πονηρίας τὰ πνεύματα, τὴν κλῆσίν σου τὴν θείαν, μακρὰν ἐλαύνονται.

Πόθῳ προσέλθωμεν ἅπαντες, τῇ θήκῃ τοῦ κλεινοῦ Πρωτομάρτυρος, καὶ ἀσπασώμεθα, τὸ ἱερὸν αὐτοῦ λείψανον, ὅπως δεινῶν τὴν λύτρωσιν κομισώμεθα.

Θεοτοκίον.

Ὡς ῥοὰς λέπυρον μήλων σου, ὡς μέλι δὲ καὶ γάλα ἡ γλῶσσά σου, καὶ ὥσπερ κόκκινον, σπαρτίον χείλη σου γέγονε, καὶ λαλιά σου Κόρη, ὡραία πέφηνε.

Καταβασία.

Ἐν τῷ θλίβεσθαί με, ἐβόησα πρὸς Κύριον, καὶ ἐπήκουσέ μου, ὁ Θεὸς τῆς σωτηρίας μου.

Κοντάκιον. Ἦχος πλ. δ΄.

Πρῶτος ἐσπάρης ἐπὶ γῆς, ὑπὸ τοῦ οὐρανίου Γεωργοῦ πανεύφημε· πρῶτος τὸ αἷμα ἐπὶ γῆς, διὰ Χριστὸν ἐξέχεας μακάριε· πρῶτος ὑπ᾽ αὐτοῦ, τὸν τῆς

νίκης στέφανον ἀνεδήσω ἐν οὐρανῷ, ὡς Ἀθλητῶν προοίμιον, στεφανῖτα τῶν Μαρτύρων ὁ πρώταθλος.

Ὁ Οἶκος.

Τοῦ Παραδείσου τὰ ἄνθη ὁρῶν, τῇ εὐοσμίᾳ αὐτῶν τῇ τερπνῇ πληροῦντα πᾶσαν τὴν οἰκουμένην, τὸ ξένον αὐτῶν καταπλήττομαι θέαμα· ἐν παγετῷ γὰρ χειμῶνος πλέον ἀνθοῦσι μᾶλλον, ὅ περ ξένον ἐν ἄνθεσιν· ὡς ὁ Μάρτυς τοῦ Χριστοῦ, ὁ ἐξανθήσας πρῶτος, καὶ θύρα γεγονὼς τῶν νομίμως ἀθλούντων, καὶ ἀνθούντων κρυμῷ τῶν κολάσεων· ὁ δείξας τρίβον ἀπλανῆ τοῖς βουλομένοις ἀθλεῖν, ὁ καλὸς σταδιάρχης, ὁ τοῖς πόνοις ἀναλάμψας, στεφανίτης τῶν Μαρτύρων ὁ πρώταθλος.

Συναξάριον.

Τῇ Β΄ τοῦ αὐτοῦ μηνός, μνήμη τῆς Ἀνακομιδῆς τοῦ Λειψάνου τοῦ ἁγίου Πρωτομάρτυρος καὶ Ἀρχιδιακόνου Στεφάνου.

Στίχ. Ἔχεις, Σιών, πάμπολλα θεῖα καὶ ξένα·
Νεκρὸν Στεφάνου δὸς πόλει Κωνσταντίνου.

Δευτερίῃ νέκυος Στεφάνου γένετ᾽ Ἀνακομιδή.

Ἥτις τελεῖται μὲν κατὰ τὴν δευτέραν τοῦ Αὐγούστου, ἔχει δὲ τήνδε τὴν διήγησιν. Μετὰ πολλοῦ χρόνου παραδρομὴν τῆς τοῦ Ἁγίου διὰ Χριστὸν μαρτυρίας, καὶ πολλῶν ἤδη διὰ Χριστὸν τοῖς ἀγῶσι τελειωθέντων, γαλήνη τὴν ταραχὴν διεδέξατο· καὶ πᾶσαι μὲν φυλακαὶ ἠνοίγοντο, πᾶν δὲ κολαστήριον ἀνενέργητον ἔμεινε, τῇ παρουσίᾳ τοῦ ἐν ἁγίοις Κωνσταντίνου τοῦ χριστιανικωτάτου καὶ πρώτου ἐν βασιλεῦσιν. Εἰρήνης οὖν καὶ ἐλευθερίας τῆς οἰκουμένης πεπληρωμένης, τότε καὶ ὁ πολύτιμος ὄλβος, τὸ Λείψανον φημὶ τοῦ Πρωτομάρτυρος, φανεροῦται.

Ἀνὴρ γάρ τις ἦν οἰκῶν τὴν κώμην, ἐν ᾗ καὶ ὁ μαργαρίτης ὑπὸ γῆν ἐκρύπτετο, πρεσβύτερος τὴν ἡλικίαν καὶ τὸ ἀξίωμα, καὶ τὸν βίον αἰδέσιμος, Λουκιανὸς τοὔνομα· τούτῳ οὐχ ἅπαξ, ἀλλὰ καὶ δὶς καὶ τρὶς ἐπιφανεὶς ὁ Πρώταθλος, ἑαυτὸν καταδηλοῖ. Ὁ δὲ Πρεσβύτερος καταμηνύει τῷ Ἐπισκόπῳ Ἰωάννῃ τὰ τῆς ὀπτασίας. Ὁ δέ, χαρᾶς πλησθείς, καὶ τὸν τόπον καταλαβὼν σὺν τῷ κλήρῳ τῆς πόλεως καὶ ἀνορύξας, εὗρε τὴν σορόν. Ἄφνω δὲ σεισμὸς ἐγένετο μέγας, καὶ εὐωδία πλείστη τοὺς παρόντας κατευωδιάζουσα· καὶ φωναὶ οὐρανόθεν ῥηγνύμεναι Ἀγγέλων Θεοῦ, τό, Δόξα ἐν ὑψίστοις, βοώντων, τῷ Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία, εἰς δέκατον ἐξηκούοντο σημεῖον. Ἀλλὰ καὶ θεραπεῖαι πλεῖσται τῶν ὑπὸ ποικίλων παθῶν πιεζομένων ἐνεργούμεναι, τὴν τοῦ Πρωτομάρτυρος χάριν ἐκήρυττον.

Αὐτίκα γοῦν ὁ τῶν Ἱεροσολύμων Πατριάρχης, σὺν δυσὶν ἄλλοις Ἐπισκόποις καὶ τῷ κλήρῳ καὶ παντὶ τῷ λαῷ, τὸ ἅγιον ἐκεῖνο σῶμα ἐν εὐφροσύνῃ καὶ χαρᾷ προσκυνήσαντες, μετὰ φώτων καὶ ὕμνων καὶ θυμιαμάτων καὶ τῆς προσηκούσης τιμῆς εἰς τὴν ἁγίαν κατέθεντο Σιών. Μετὰ ταῦτα δὲ ναὸς τῷ Ἁγίῳ σεβάσμιος, κατὰ τὴν πόλιν αὐτήν, οἰκοδομεῖται ὑπό τινος Ἀλεξάνδρου Συγκλητικοῦ, ὅς, πολλὰ τοῦ Ἀρχιερέως δεηθείς, ἐν αὐτῷ τὸ τίμιον Λείψανον μετὰ πάσης ἔθετο σεβασμιότητος.

www.tezaurliturgic.ro

Οὔπω δὲ πλείους ἢ πέντε μετ᾽ ἐκείνην διῆλθον τὴν μετάθεσιν ἐνιαυτοί, καὶ αὐτὸς τὴν ἐπὶ θάνατον νοσήσας καὶ γλωσσόκομον μὲν ἑαυτῷ περσέινον, τῷ τοῦ Ἁγίου παρόμοιον, κατασκευασάμενος καὶ ἔγγιστα τούτου καταθέμενος, κεκοίμηται, ἐν αὐτῷ κατατεθείς. Μετὰ δὲ χρόνους ὀκτὼ τῆς Ἀλεξάνδρου τοῦ Συγκλητικοῦ τελευτῆς, βασιλεύοντος Ῥωμαίων τοῦ ἁγίου καὶ μεγάλου Κωνσταντίνου καὶ ἱεραρχοῦντος Κωνσταντινουπόλεως Μητροφάνους, ἡ γαμετὴ Ἀλεξάνδρου τοῦ Συγκλητικοῦ, διά τε τὸν αὐτῆς πλοῦτον καὶ τὴν ὥραν τοῦ σώματος, πρὸς γάμον αὖθις ἐλθεῖν ὑπὸ πολλῶν ἐνοχλουμένη, ὅπως μὴ τοῦτο πράξῃ καταναγκασθεῖσα, βουλὴν βουλεύεται, τὸ σῶμα μὲν τοῦ ἀνδρὸς ἀναλαβεῖν, πρὸς τὸν πατέρα δὲ καὶ τὴν ἰδίαν πατρίδα, τὴν Κωνσταντινούπολιν, ἀναδραμεῖν· ἥτις θείᾳ τινὶ προνοίᾳ περιπλανηθεῖσα, τὸ τοῦ ἀνδρὸς ἀφεῖσα γλωσσόκομον καὶ πηγὰς δακρύων προχέουσα, τῷ τοῦ Ἁγίου περιεπλέκετο.

Τέλος, τὸ ἱερὸν Λείψανον ἐν λεκτικίῳ* ἐπὶ ὄνῳ καταθεῖσα, οὕτω τὴν ὁδοιπορίαν ἐποιεῖτο. Δι᾽ ὅλης δὲ τῆς νυκτὸς ὕμνος Ἀγγέλων κατ᾽ οὐρανὸν καὶ θεοπρεπὴς ἐξηκούετο δοξολογία, καὶ ὀσμῆς εὐώδους, ὡς μύρου πολλοῦ ἐκχυθέντος, τὰ ἐκεῖσε ἐπληροῦτο· καὶ τὰ πονηρὰ πνεύματα οἰμόζοντα, Οὐαὶ ἡμῖν! φωναῖς ἀνέκραζον συχναῖς, ὅτι Στέφανος μέσον ἡμῶν παράγει, μαστίζων ἡμᾶς. Φθάσαντες δὲ τὴν Ἀσκάλωνα, πόλιν παράλιον, καὶ εὑρόντες πλοῖον καὶ πεντήκοντα χρυσίων αὐτὸ μισθωσάμενοι, ἐξώρμησαν. Ὁπόσα δὲ θαύματα κατὰ τὴν ὁδοιπορίαν ταύτην καὶ σημεῖα διετελέσθησαν, ἀδύνατον γράφειν, τῇ συντομίᾳ χρωμένους.

Ὡς δὲ τὴν Βασιλίδα κατέλαβον καὶ εἰς τὰς ἀκοὰς τοῦ βασιλέως ἐνηχήθη τὸ μέγα τοῦτο δρᾶμα, ἀνηνέχθη δὲ αὐτῷ καὶ τὰ περὶ τῆς γυναικός, αὐτίκα παραστᾶσα ἔμπροσθεν τοῦ βασιλέως, ἀκριβῶς ἐξεῖπε τὰ τῆς ὑποθέσεως ἐξ ἀρχῆς καὶ μέχρι τέλους παρακολουθήσαντα. Τότε δὴ τότε ὁ καλλίνικος καὶ φιλευσεβὴς βασιλεύς, ταῦτα ἀκηκοώς, χαρᾶς τε πλησθεὶς καὶ ἀγαλλιάσεως, ἐκέλευσε τῷ Ἀρχιερεῖ μετὰ παντὸς τοῦ Κλήρου καὶ τοῦ λαοῦ τὴν ὑπαντὴν ποιῆσαι καὶ μετὰ τιμῆς πλείστης καὶ εὐλαβείας τὸν Ἅγιον εἰς τὰ βασίλεια ἀγαγεῖν.

Τότε τοίνυν καὶ ἄλλα μέγιστα ἐτελοῦντο· ἀλλὰ ἀδύνατόν ἐστι ταῦτα καταλέγειν· ἓν δέ, ὃ μὴ καταλιπεῖν ἄξιον, λέξομεν. Εἷλκον αἱ ἡμίονοι τὸ ἅρμα, ἐν ᾧ ὁ θησαυρός, ἕως ἔφθασαν εἰς τόπον Κωνσταντιανὰς καλούμενον, ἐν ᾧ κατετέθη, μιᾶς ἐξ αὐτῶν ἀνθρωπίνῃ φωνῇ ἐξειπούσης· Τίνος χάριν τύπτετε ἡμᾶς; ἐνταῦθα δεῖ τὸν Ἅγιον κατατεθῆναι. Τούτων τῶν φωνῶν ὁ Ἀρχιερεύς, καὶ πᾶν τὸ σύστημα ἀκούσας, μεγάλῃ τῇ φωνῇ τὸν αἶνον τῷ Θεῷ ἀπέδοσαν. Ἐξέστη ταῦτα γνοὺς καὶ ὁ πιστότατος βασιλεύς· καὶ παραχρῆμα ἐν αὐτῷ τῷ τόπῳ σεβάσμιον ἐγείρει τῷ Πρωτάθλῳ ναόν, εἰς δόξαν καὶ αἶνον τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τοῦ Ἁγίου αὐτοῦ.

## Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς Εὑρέσεως τῶν Λειψάνων τῶν ἁγίων Μαρτύρων Μαξίμου, Δάδα καὶ Κυντιλιανοῦ.

Στίχ. Τρεῖς ἐκφέρουσα γῆ νεκροὺς ζωηφόρους,
Πόλῳ λέγειν ἔοικε· Σὺ κρύψας ἔχε.

---

* Λεκτίκιόν ἐστι λέξις λατινική, παράγωγος ἐκ τοῦ Λέκτικα (Lectica), ὅπερ δηλοῖ φορεῖον· τὸ δὲ Λέκτικα παράγεται ὁμοίως ἐκ τοῦ Λέκτος (Lectos), ἑλληνιστὶ Λέκτρον, κοίτη.

Οὗτοι ὑπῆρχον ἐπὶ Μαξιμιανοῦ τοῦ βασιλέως ἐν Δωροστόλῳ τῇ πόλει, ἐν τῇ χώρᾳ τῆς δευτέρας Μυσίας. Παραστάντες δὲ Ταρκυνίῳ ὑπάτῳ καὶ μὴ θελήσαντες θῦσαι, τύπτονται· καὶ ἀχθέντες ἐν τῷ ἰδίῳ τόπῳ, Ὀζοβίᾳ καλουμένῳ, τὰς κεφαλὰς ἀποτέμνονται, Ἀπριλίου ιγ´. Ἀγνοουμένων δὲ ἐπὶ χρόνοις πολλοῖς, δι᾽ Ἀγγέλου ἀπεκαλύφθησαν τὰ τίμια αὐτῶν λείψανα Αὐγούστου δευτέρᾳ· ἃ καὶ νῦν κατάκεινται ἐν τῷ οἴκῳ τῆς Ὑπεραγίας Θεοτόκου ἐν τοῖς Βιγλεντίου.

Τῆς Θεοτόκου. Ὠδὴ ζ´.
Ἦχος πλ. δ´. Ὁ εἱρμός.

Θεοῦ συγκατάβασιν * τὸ πῦρ ᾐδέσθη ἐν Βαβυλῶνι ποτέ· * διὰ τοῦτο οἱ παῖδες * ἐν τῇ καμίνῳ ἀγαλλομένῳ ποδί, * ὡς ἐν λειμῶνι, χορεύοντες ἔψαλλον· * Εὐλογητὸς ὁ Θεὸς * ὁ τῶν πατέρων ἡμῶν.

Τροπάρια.

Νῦν πάντα πεπλήρωται, φωτὸς τοῦ θείου διὰ σοῦ Πάναγνε· σὺ γὰρ πύλη ἐφάνης, δι᾽ ἧς τῷ κόσμῳ Θεὸς ὡμίλησε· καταφωτίζων τοὺς πίστει κραυγάζοντας· Εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Συνέλαβες ἄχραντε τὸν ἐπὶ πάντων Θεὸν καὶ Κύριον, εὐδοκήσαντα σῶσαι, τὸ τῶν ἀνθρώπων γένος θανάτου φθορᾶς· ὃν ἐπαξίως ὑμνοῦντες κραυγάζομεν· Εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Παλάτιον ἔμψυχον, τοῦ Βασιλέως Χριστοῦ πανύμνητε, χαῖρε στάμνε τὸ μάννα, ἐν τῇ γαστρί σου θείως βαστάσασα, τὸ διατρέφον τοὺς πόθῳ κραυγάζοντας. Εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Νυμφῶνα πανάχραντον, τῆς ὑπὲρ λόγον θείας σαρκώσεως, καὶ παστάδα καὶ θρόνον, ὀρθὰ φρονοῦντές σε ὀνομάζομεν, καὶ γεγηθότες τῷ τόκῳ σου ψάλλομεν· Εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Τοῦ Ἁγίου. Ὠδὴ ζ´.
Ἦχος πλ. δ´. Θεοῦ συγκατάβασιν.

Ῥοῇ τῶν αἱμάτων σου, τὰς οὐρανίους πύλας ἠνέῳξε, καὶ τὸν ἀγωνοθέτην, παραστηκότα καὶ προτεινόμενον, σοι τοὺς στεφάνους ὑπέδειξε κράζοντι· εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ὡς θῆρες ἁρπάσαντες, οἱ θεοκτόνοι τὸν Θεοφάντορα, μιαιφόνοις παλάμαις, τοῦτον ἀνῄρουν ὑπερευχόμενοι, τῶν ἀναιρούντων συμφώνως καὶ ψάλλοντα· εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Νομίμως διήλεγξας, τοὺς παρανόμους ὁ ἐννομώτατος, μιμητὴς τοῦ Δεσπότου, καὶ θεομάχους τούτους ἀπέδειξας, ὑφ᾽ ὧν τοῖς λίθοις βαλλόμενος ἔψαλλες· Εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Ἐν χρόνῳ τὸν ἄχρονον, ἀπειρογάμως Ἁγνὴ γεγέννηκας, τὸν πρὶν ἄσαρκον Λόγον, σαρκὸς προσλήψει Παρθένε τέτοκας, ᾧ μελῳδοῦμεν συμφώνως κραυγάζοντες· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ἕτερος. Ὠδὴ ζ΄.
Ἦχος δ΄. Οὐκ ἐλάτρευσαν.

Τὴν πανσέβαστον, σορὸν τὴν τοῦ λειψάνου σου, προϋπαντῶσι φαιδρῶς, μετὰ λαμπάδων πολλῶν,ποιμὴν ὁ θεόσοφος, καὶ ὁ θεόφρον λαός, ὕμνον μέλποντες· ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Ἀνεξάντλητος πηγὴ χαρίτων ἅγιε, καὶ κρήνη ἄφθονος, πάντων ὁμοῦ τῶν καλῶν, εὑρίσκῃ ἀοίδιμε τοῖς σὲ γεραίρουσι, πλοῦτος ἄσυλος παντοδαπῆς τε ἥλιος, φαεινὸς εὐεργεσίας.

Παμπληθέστατα, θαυμάσια καὶ τέρατα, τὸ ἱερώτατον, καὶ σεβαστὸν ἐν ὁδῷ, ἐτέλει σου λείψανον, ἔνδοξε Στέφανε, χαριόμενον, τυφλοῖς τὸ βλέπειν πρώταθλε, τὸ λαλεῖν δὲ τοῖς ἀλάλοις.

Θεοτοκίον.

Σοῦ ὁ τράχηλος, ὁρμίσκος Κόρη γέγονε καὶ ἐλεφάντινος, καθάπερ πύργος ἁγνή, αἱ χεῖρες δὲ ππαναγνε, ἐν αἷς τὸν Κύριον ἦρας ὤφθησαν, χρυσαῖ τε καὶ διάλιθοι, καὶ θαρσεῖς πεπληρωμέναι.

Καταβασία.

Ἀβραμιαῖοι ποτέ, ἐν Βαβυλῶνι Παῖδες, καμίνου φλόγα κατεπάτησαν, ἐν ὕμνοις κραυγάζοντες· Ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Τῆς Θεοτόκου. Ὠδὴ η΄.
Ἦχος πλ. δ΄. Ὁ εἱρμός.

Ἑπταπλασίως κάμινον * τῶν Χαλδαίων ὁ τύραννος * τοῖς θεοσεβέσιν ἐμμανῶς ἐξέκαυσε· * δυνάμει δὲ κρείττονι * περισωθέντας τούτους ἰδών, * Τὸν δημιουργὸν καὶ λυτρωτήν, ἀνεβόα, * οἱ παῖδες εὐλογεῖτε, * ἱερεῖς ἀνυμνεῖτε, * λαὸς ὑπερυψοῦτε * εἰς πάντας τοὺς αἰῶνας.

Τροπάρια.

Θεογεννῆτορ Δέσποινα, τῶν πιστῶν τὸ κραταίωμα, ταῖς πρὸς τὸν Υἱόν σου, μητρικαῖς δεήσεσιν, αὐτόν μοι ἱλέωσον, τὸν ἀληθῶς εὐΐλατον, καὶ ἁμαρτιῶν μου τὸ χειρόγραφον ῥῆξαι, καὶ δεῖξον Παναγία, σωζομένων με κλήρου, ἵνα σε μεγαλύνω εἰς πάντας τοὺς αἰῶνας.

Ἡ ἐν ἀνάγκαις σώζουσα, καὶ θερμῶς προστατεύουσα, πάντων τῶν ἐν θλίψει Παναγία Δέσποινα, σπλαγχνίσθητι σῶσόν με, καὶ πεπτωκότα ἔγειρον, χεῖρα βοηθείας, πρὸ τοῦ τέλους δίδουσα, μὴ νύξ με τοῦ θανάτου, καταλάβῃ ὑπνοῦντα, ἵνα σε κατὰ χρέος δοξάζω εἰς αἰῶνας.

Ἄλλην ἐκτός σου Δέσποινα, βοηθὸν οὐκ ἐπίσταμαι, πλήν σου πρὸς Θεόν, καταλλαγὴν οὐ κέκτημαι, ἐλέησον ἄχραντε, ἐμὲ τὸν ἀπολλύμενον, διὰ τὰς

ἐκ βρέφους, ἀθεμίτους μου πράξεις, καὶ σῶσόν με βοῶντα, χαῖρε εὐλογημένη, χαῖρε δεδοξασμένη, εἰς πάντας τοὺς αἰῶνας.

**Ο**ὐρανομήκη κλίμακα, νοητήν σε γινώσκομεν, δι᾽ ἧς καταβάς, μετὰ σαρκὸς ὁ Ὕψιστος, ἀνθρώποις ὡμίλησε, καὶ ταπεινοὺς ἀνύψωσε, πρὸς τὴν ὑψηλὴν τῶν οὐρανῶν πολιτείαν· ἐντεῦθεν ἀνωτέραν, οὐρανῶν καὶ Ἀγγέλων, καὶ πάντων ποιημάτων, κηρύττομέν σε Κόρη.

Τοῦ Ἁγίου. ᾨδὴ η´.
Ἦχος πλ. δ´. Ἑπταπλασίως κάμινον.

**Ὑ**περφυεῖ λαμπόμενος, φωταυγίᾳ πανάριστε, καὶ τὴν τοῦ προσώπου σου μορφὴν ἰσάγγελον, ἐδείκνυς τῆς χάριτος, διαδοθείσης Στέφανε, τῆς ἐν τῇ ψυχῇ σου, κεκρυμμένης πλουσίως· ἐντεῦθεν ἀνεβόας· ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

**Σ**τεφανηφόρε Στέφανε, τῆς ψυχῆς μου τὰ τραύματα, καὶ τῆς ἁμαρτίας τὰς οὐλὰς ἐξάλειψον, ῥανίσιν αἱμάτων σου· πρὸς γὰρ τὴν σὴν ἀντίληψιν, καὶ τὴν συμπαθῆ, καὶ χριστομίμητον γνώμην, προσφεύγων ἀνακράζω· ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

**Τ**ὸν τῶν χαρίτων ἔνδοξε, σοὶ ὁμώνυμον στέφανον, τῇ σῇ σεβασμίᾳ κορυφῇ ἐπέθηκε, Κριτὴς ὁ ἀδέκαστος· ὃν εὐσεβῶς ἐκήρυξας, Κτίστην καὶ Θεόν, καὶ Βασιλέα τῶν ὅλων, βοῶν ἀδιαλείπτως· ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

**Ἐ**ν ταῖς χερσὶ τοῦ κτίσαντος, ἐναπέθου τὸ πνεῦμά σου· αἱ τῶν οὐρανῶν γὰρ στρατιαὶ συνόμιλον, ἐδέξαντο χαίρουσαι, τὸν πρὶν ἐν γῇ ἰσάγγελον· νῦν δὲ ταῖς αὐτῶν, συντεταγμένος χορείαις, βοᾷς ἀδιαλείπτως· ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

**Φ**ωτὸς ἀδύτου γέγονας, ἐνδιαίτημα Πάναγνε· φῶς γὰρ τοῖς ἐν σκότει καὶ σκιᾷ γεγένηκας, φωτίζον τὰ πέρατα, θεογνωσίας χάριτι· ᾧ ἀκαταπαύστως, οἱ πιστοὶ μελῳδοῦμεν· Οἱ παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ἕτερος. ᾨδὴ η´.
Ἦχος δ´. Παῖδας εὐαγεῖς.

**Κ**άλλιστα ναὸν ἐγείρει πόθῳ, εἰς ὄνομα σὸν πρωτοδιάκονε, βλέπων τὰ παράδοξα, ἄναξ ὁ ἀοίδιμος· ἐκ γὰρ ἀφῆς λειψάνου σου, πηγὴν ἐκήρανε, τοῦ αἵματος, γυνὴ εὐλογοῦσα καὶ ὑπερυψοῦσα, Χριστὸν εἰς τοὺς αἰῶνας.

**Τ**ρισσῶς ἐπιστὰς τῷ πρεσβυτέρῳ, τὸ σὸν ὑπὸ κόλπους γῆς κρυπτόμενον, λείψανον ὦ Στέφανε, τοῦτο ἐφανέρωσας, ὁ δὲ χαρᾷ ἐκραύγαζεν πρὸς τὸν

www.tezaurliturgic.ro

ἐπίσκοπον· κατίδωμεν κρυπτόμενον ὄλβον, καὶ αὐτὸν ἐκ πόθου, ψυχῆς κατασπασθῶμεν.

Σήμερον εὐφραίνεται ὁρῶσα, λειψάνου σου θείου τὴν ἐπάνοδον, πόλις ἡ βασίλειος, καὶ σοὶ χαριστήρια, προσαναπέμπει χαίρουσα, Χριστῷ δὲ μέλπουσα· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Κόρη οἱ μαστοί σου οἱ ὡραῖοι, νεβροὶ τῆς δορκάδος ἀνεδείχθησαν, δίδυμοι πανύμνητε, καὶ ἀμπέλου βότρυες, κοιλία δέ σου ἄχραντε, Θεὸν χωρήσασα, γεγένηται λαμπρὰ θημωνία, σίτου τοῦ ὡρίμου, ἐν κρίνοις πεφραγμένη.

Καταβασία.

Αἰνοῦμεν, εὐλογοῦμεν, προσκυνοῦμεν τὸν Κύριον,
ὑμνοῦντες καὶ ὑπερυψοῦντες αὐτὸν εἰς τοὺς αἰῶνας.

Οἱ ἐν Βαβυλῶνι παῖδες, τῷ θείῳ πυρπολούμενοι ζήλῳ, τυράννου καὶ φλογὸς ἀπειλήν, ἀνδρείως κατεπάτησαν· καὶ μέσον πυρός, ἐμβληθέντες, δροσιζόμενοι ἔψαλλον· Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον.

Τῆς Θεοτόκου. Ὠδὴ θ΄.
Ἦχος πλ. δ΄. Ὁ εἱρμός.

Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανός, * καὶ τῆς γῆς κατεπλάγη τὰ πέρατα, * ὅτι Θεὸς * ὤφθη τοῖς ἀνθρώποις σωματικῶς, * καὶ ἡ γαστήρ σου γέγονεν * εὐρυχωροτέρα τῶν οὐρανῶν· * διό σε, Θεοτόκε, * ἀγγέλων καὶ ἀνθρώπων * ταξιαρχίαι μεγαλύνουσιν.

Τροπάρια.

Τὸν θρόνον τοῦ Δεσπότου τὸν ὑψηλόν, τὴν καθέδραν Χριστοῦ τὴν περίδοξον· τὸν εὐαγῆ, θάλαμον τὸ πάγχρυσον Ἱερόν, τὸ Θεοδόχον τέμενος, τὴν παντοβασίλισσαν Μαριάμ, τὴν δόξαν τῶν Ἀγγέλων· βροτῶν τὴν σωτηρίαν, πάντες πιστοὶ ἀνευφημήσωμεν.

Τὸν πάντων Βασιλέα καὶ Ποιητήν, συλλαβοῦσα Παρθένε ἐκύησας· καὶ νῦν ἰδού, οἷά περ βασίλισσα δεξιᾷ, τούτου ἁγνὴ παρίστασαι· ὅθεν δυσωπῶ σε ἀριστερᾶς, μερίδος λύτρωσαί με, ἐν ὥρᾳ τῇ τῆς δίκης, καὶ δεξιοῖς προβάτοις σύνταξον.

Ἀΰλων ἐκ λειμώνων τῶν τῆς ψυχῆς, τῶν ᾀσμάτων τὰ ἄνθη δρεψάμενος, καὶ τῇ ῥοῇ, μίξας τῶν δακρύων μου ἐν πυρί, τῷ τῆς καρδίας ἔψησα, Δέσποινα καὶ μύρον ἐσκευακώς, τὸν ὕμνον ὡς ἡ πόρνη, τοὺς σοὺς ἀχράντους πόδας, ἐν τούτῳ βρέχω κράζων σῶσόν με.

Σωτήριος γενοῦ μοι πύργος ἁγνή, τῶν δαιμόνων ἀπείργων τὰς φάλαγγας, καὶ πειρασμῶν, ὄχλον καὶ κινδύνων ἀποσοβῶν· καὶ τῶν παθῶν τὴν ἔφοδον, πόῤῥω ἀπελαύνων καὶ καθαράν, διδοὺς ἐλευθερίαν, καὶ θείων χαρισμάτων, τὴν ἀφθονίαν παρεχόμενος.

Τοῦ Ἁγίου. Ὠδὴ θ΄.
Ἦχος πλ. δ΄. Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανός.

Ἀθλήσεως Μαρτύρων ἡ ἀπαρχή, ὁ λαμπρῶς ὑποδείξας τοῖς Μάρτυσι, τὴν ἀπλανῆ, τρίβον ὁδηγοῦσαν εἰς οὐρανούς, ὁ Πρωτομάρτυς Στέφανος, πάντας προσκαλεῖται πνευματικῶς, πρὸς θείαν εὐφροσύνην, φωτὸς πρὸς μετουσίαν, καὶ κοινωνίαν ἁγιότητος.

Νευρούμενος ἀγάπῃ τῇ τοῦ Χριστοῦ, καὶ τὴν τούτου ζηλώσας πραότητα, καὶ τὴν φωνήν, ἔλεγες· Μὴ στήσῃς τοῖς φονευταῖς, τὴν ἁμαρτίαν Κύριε· δέξαι δὲ τὸ πνεῦμά μου ἀγαθέ, καὶ θείας βασιλείας, τρυφῆσαι τῆς ἀφράστου, τῆς παρὰ σοῦ με καταξίωσον.

Ὡραῖος καὶ τὸ εἶδος ἀγγελικόν, καὶ σοφίας καὶ πίστεως ἔμπλεως, καὶ θεϊκῆς, αἴγλης ἀποστίλβων μαρμαρυγάς, καὶ θεηγόρῳ στόματι, θεοῤῥημοσύνης ὡς ποταμός, ἐνθέως ῥητορεύων, τῆς ἄνω κληρουχίας, θεομακάριστε τετύχηκας.

Στεφάνῳ τῶν χαρίτων στεφανωθείς, καὶ χορείαις Μαρτύρων κυκλούμενος, καὶ τῷ Χριστῷ, τῷ ἀγωνοθέτῃ παρεστηκώς, ὑπὲρ ἡμῶν δυσώπησον, τῶν ἐπιτελούντων εἰλικρινῶς, τὴν ὄντως φωτοφόρον, πανήγυρίν σου Μάρτυς, καὶ τῶν κινδύνων ἀπολύτρωσαι.

Θεοτοκίον.

Ὡς πάντων προστασία χριστιανῶν, Θεομῆτορ Παρθένε πανάμωμε, ὡς συμπαθής, λύτρωσαι κινδύνων καὶ πειρασμῶν, τοὺς θλιβομένους δούλους σου, καὶ ὀδυνωμένους ταῖς χαλεπαῖς, πταισμάτων ἀλγηδόσι, καὶ πόνοις τῶν μαστίγων, ἀλγεινομένους περιποίησαι.

Ἕτερος. Ὠδὴ θ΄.
Ἦχος δ΄. Ἅπας γηγενής.

Ἄγει ἑορτήν, πιστῶν ἡ ὁμήγυρις, τὴν σὴν ἐπάνοδον, ἀγαμένη σήμερον· χοροὶ Ἀγγέλων δὲ συνευφραίνονται· ὡς ὄρθρος γὰρ ἐξέλαμψε, φωτίων πάντα πιστόν, σοὶ βοῶντα· χαίροις ἐγκαλλώπισμα, τῶν Μαρτύρων καὶ στέφανος Στέφανε.

Ὥσπερ βρεφικά, ψελλίσματα πρόσδεξαι, τὸν ὕμνον ἅγιε, ὃν προσενηνόχαμεν, τῇ μεταθέσει σεπτῶν λειψάνων σου, καὶ ἀμοιβὴν αἰτούμεθα τὰς ἱκεσίας σου, ὑπὲρ πάντων, ὧν περ ἐξημάρτομεν, ἐν τῷ βίῳ καὶ λόγοις καὶ πράξεσιν.

Πάρεσο ἀεί, μονῇ τῇ ἁγίᾳ σου ἔνδοξε Στέφανε, καὶ τοὺς κοπιῶντάς σοι, ἕως ἐσχάτης ζωῆς συντήρησον, ὡς ἀετὸς δὲ φάνηθι, ἐπισκιάζων ἡμᾶς, καὶ ἐκ πάσης βλάβης ἐκλυτρούμενος, ὁρωμένων ἐχθρῶν ἀοράτων τε.

Θεοτοκίον.

Σοῦ ὁ ὀμφαλός, ἁγνὴ κρατὴρ γέγονε, τορευτὸς ἔμπλεος, οἱ ῥυθμοὶ δὲ ἄχραντε, μηρῶν σου θείων ὁρμίσκοις ὅμοιοι, ποδῶν δὲ διαβήματα τί ὡραιώθησαν! ὅλη Κόρη, ὅλη καλὴ πέφυκας, ὡς σελήνη λαμπρὰ καὶ ὡς ἥλιος.

Καταβασία.

Ὁ τόκος σου ἄφθορος ἐδείχθη· Θεὸς ἐκ λαγόνων σου προῆλθε, σαρκοφόρος, ὃς ὤφθη ἐπὶ γῆς, καὶ τοῖς ἀνθρώποις συνανεστράφη· σὲ Θεοτόκε, διὸ πάντες μεγαλύνομεν.

Ἐξαποστειλάριον. Ἐπεσκέψατο ἡμᾶς.

Τὴν ἐπάνοδον τῶν σῶν, λειψάνων ἑορτάζοντες, λαμπρῶς ἐν ὕμνοις καὶ ᾠδαῖς, πρωτομάρτυς Στέφανε, τὴν προσιοῦσαν ἐξ αὐτῶν, χάριν ἀντιλαμβάνομεν, εἰς ψυχῶν σωτηρίαν.

Ἕτερον. Τῶν Μαθητῶν ὁρώντων σε.

Ὁ πρῶτος τῶν Μαρτύρων τρίβον ἀνύσας, καὶ Διακόνων πρόκριτος χρηματίσας, Στέφανος ὁ χάριτος πεπλησμένος, ἰδοὺ ἀνακομίζεται, πρὸς τὴν Βασίλειον πόλιν, θαυμάτων βρύων τὴν χάριν.

Θεοτοκίον.

Ὅν περ αἱ ἄνω τάξεις πολλῷ σὺν τρόμῳ, παρίστανται μὴ φέρουσαι κατοπτεῦσαι, αἴγλην τῆς ἀῤῥήτου αὐτοῦ οὐσίας, Χριστὸν γαστρὶ ἐχώρησας, λαβόντα σάρκα Παρθένε, ἐκ σῶν τιμίων αἱμάτων.

Εἰς τοὺς Αἴνους, ἱστῶμεν στίχους δ´
καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. δ´. Ὢ τοῦ παραδόξου θαύματος.

Δεῦτε προσπτύξασθε λείψανον, τὸ ἱερὸν καὶ σεπτόν, τοῦ Στεφάνου φιλέορτοι, ἐν τῇ γῇ κρυπτόμενον, καὶ νῦν κόσμῳ φαινόμενον· καὶ γὰρ ἐκβλύζει, κρήνην ἰάσεων, καὶ θεραπεύει πάθη ἀνίατα, τῶν μετὰ πίστεως, προσκυνούντων πάντοτε, καὶ τὴν αὐτοῦ, μνήμην τὴν σεβάσμιον, ἀνευφημούντων ᾠδαῖς.

Στέφανον θαυμάτων εὗρέ σε, πᾶσα ἡ φύσις βροτῶν, ὢ φερώνυμε Στέφανε· ἀσθενεῖς ῥωννύεις γάρ, ἐπαφῇ τῶν λειψάνων σου, καὶ ἀποστρέφεις, θανάτου κάκωσιν, καὶ πάθη λύεις, τὰ πολυώδυνα· ὢ ποία χάρις σοι, ἐκ Θεοῦ δεδώρηται, ὅτι αὐτός, πρώταθλος πανεύφημε, παθῶν ἐδείχθης Χριστοῦ.

Στέφανε Μαρτύρων πρώταθλε τῶν Διακόνων κρηπίς, Ἀποστόλων ἐκλόγιον, τοὺς λαμπρῶς τελοῦντάς σου, τὴν φωσφόρον πανήγυριν, φωτὶ ἀπλέτῳ, μάρτυς καταύγασον, τῆς ἁμαρτίας λύων σκοτόμαιναν, χάριν καὶ ἔλεος, χορηγῶν τοῖς δούλοις σου, καὶ πρὸς ζωήν, τὴν διαιωνίζουσαν, καθοδηγῶν σαῖς λιταῖς.

Στέφανος τῷ ὄντι τίμιος, τῷ βασιλεῖ καὶ Θεῷ, προσηνέχθης Ἀπόστολε, τοῖς ἐκ λίθων στίγμασι, λογικὸς καὶ πολύτιμος, ὑπὲρ χρυσίον καὶ λίθον τίμιον, κατεστεμμένος, δόξῃ καὶ χάριτι, Στέφανε τίμιε, τῶν Μαρτύρων πρώταθλε τὸ γλυκερόν, πρᾶγμά τε καὶ ὄνομα, μνήσθητι πάντων ἡμῶν.

Δόξα. Ἦχος πλ. δ΄.

Πρωτομάρτυς καὶ ἀρχιδιάκονε Στέφανε, τίς σὲ κατ᾽ ἀξίαν ἐπαινέσεται; ἐν γὰρ τῇ ἀνακομιδῇ τοῦ σεπτοῦ σου λειψάνου, θαύματα παράδοξα ὁ τῶν θαυμασίων Θεὸς ἀπειργάσατο· ἄνωθεν μὲν γὰρ ἀγγελικαὶ δυνάμεις ἔκραζον· Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία· καὶ εὐώδης ὀσμὴ μύρου πολλοῦ, τὸν ἀέρα ἐπλήρωσε· κάτωθεν δὲ ἡμίονος, ἀνθρωπίνῃ φωνῇ, τὸν τόπον δηλοῖ τῆς τῶν λειψάνων σου καταθέσεως· δαίμονες οἰμώζουσιν μαστιζόμενοι, καὶ νόσοι παντοῖαι ἐξ ἀνθρώπων ἀπελαυνοναται, τῇ ἐν σοὶ οἰκούσῃ παντοδυνάμῳ τοῦ Πνεύματος χάριτι· ἀλλὰ πρωτόαθλε καὶ τοῦ ναοῦ σου τούτου (τῆς μονῆς σου ταύτης) προστά- τα καὶ ἔφορε, μὴ παύσῃ πρεσβεύων Χριστῷ, ὑπὲρ τῶν ἐν πίστει τελούντων, τὴν πάνσεπτον μνήμην σου.

Καὶ νῦν. Τῆς ἑορτῆς. Ἦχος πλ. δ΄.

Τῆς θεότητός σου Χριστέ, ἀμυδρὰν αὐγὴν παραγυμνώσας, τοῖς συναναβᾶσί σοι ἐπὶ τοῦ ὄρους, τῆς ὑπερκοσμίου σου δόξης, ἐποίησας κοι- νωνούς· ὅθεν θεαστικῶς ἐκραύγαζον· Καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι. Μεθ᾽ ὧν καὶ ἡμεῖς, σὲ τὸν μεταμορφωθέντα Σωτῆρα Χριστόν, ἀνυμνοῦμεν εἰς τοὺς αἰῶνας.

Δοξολογία μεγάλη καὶ Ἀπόλυσις.

Δίδοται καὶ ἅγιον ἔλαιον τοῖς ἀδελφοῖς.

---

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά, οἱ Μακαρισμοί, καὶ ἐκ τῶν Κανόνων τοῦ Ἁγίου, ἡ γ΄ ᾠδὴ ἐκ τοῦ α΄ κανόνος καὶ ἡ στ΄ ᾠδὴ ἐκ τοῦ β΄ κανόνος.

Ἀπόστολον καὶ Εὐαγγέλιον τὰ ἐν τῇ μνήμῃ τοῦ Ἁγίου.

Ἀπόστολος. Πράξεων τῶν Ἀποστόλων (στ΄ 8-15, ζ΄ 1-5, 47-60). *(Ζήτει τῇ Δευτέρᾳ τῆς Γ΄ ἑβδομάδος τῶν Πράξεων).*

Προκείμενον. Ἦχος δ΄. (Ψαλμὸς ιη΄).

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτοῦ.

Στίχ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλει τὸ στερέωμα.

Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα.

**Ἐ**ν ταῖς ἡμέραις ἐκείναις, Στέφανος πλήρης πίστεως καὶ δυνάμεως ἐποίει τέρατα καὶ σημεῖα μεγάλα ἐν τῷ λαῷ. Ἀνέστησαν δέ τινες τῶν ἐκ τῆς συναγωγῆς τῆς λεγομένης Λιβερτίνων καὶ Κυρηναίων καὶ Ἀλεξανδρέων καὶ τῶν ἀπὸ Κιλικίας καὶ Ἀσίας συζητοῦντες τῷ Στεφάνῳ, καὶ οὐκ ἴσχυον ἀντιστῆναι τῇ σοφίᾳ καὶ τῷ πνεύματι ᾧ ἐλάλει. Τότε ὑπέβαλον ἄνδρας λέγοντας ὅτι ἀκηκόαμεν αὐτοῦ λαλοῦντος ῥήματα βλάσφημα εἰς Μωϋσῆν καὶ τὸν Θεόν· συνεκινησάν τε τὸν λαὸν καὶ τοὺς πρεσβυτέρους καὶ τοὺς γραμματεῖς, καὶ ἐπιστάντες συνήρπασαν αὐτὸν καὶ ἤγαγον εἰς τὸ συνέδρι- ον, ἔστησάν τε μάρτυρας ψευδεῖς λέγοντας· Ὁ ἄνθρωπος οὗτος οὐ παύεται ῥήματα βλάσφημα λαλῶν κατὰ τοῦ τόπου τοῦ ἁγίου καὶ τοῦ νόμου· ἀκηκόαμεν γὰρ αὐτοῦ λέγοντος ὅτι Ἰησοῦς ὁ Ναζωραῖος οὗτος καταλύσει τὸν τόπον τοῦτον καὶ ἀλλάξει τὰ ἔθη ἃ παρέδωκεν ἡμῖν Μωϋσῆς. Καὶ ἀτενίσαντες εἰς αὐτὸν ἅπαντες οἱ καθεζόμενοι ἐν τῷ συνεδρίῳ εἶδον τὸ πρόσωπον αὐτοῦ ὡσεὶ πρόσωπον ἀγγέλου. Εἶπε δὲ ὁ ἀρχιερεύς· Εἰ ἄρα ταῦτα οὕτως ἔχει; Ὁ δὲ ἔφη· Ἄνδρες ἀδελφοὶ καὶ πατέρες, ἀκούσατε. Ὁ Θεὸς τῆς δόξης ὤφθη τῷ πατρὶ ἡμῶν Ἀβραὰμ ὄντι ἐν τῇ Μεσοποταμίᾳ, πρὶν ἢ κατοικῆσαι αὐτὸν ἐν Χαῤῥάν, καὶ εἶπε πρὸς αὐτόν· «Ἔξελθε ἐκ τῆς γῆς σου καὶ ἐκ τῆς συγγενείας σου, καὶ δεῦρο εἰς γῆν ἣν ἄν σοι δείξω». Τό- τε ἐξελθὼν ἐκ γῆς Χαλδαίων κατῴκησεν ἐν Χαῤῥάν. Κἀκεῖθεν μετὰ τὸ ἀποθανεῖν τὸν πατέρα αὐτοῦ μετῴκισεν αὐτὸν εἰς τὴν γῆν ταύτην εἰς ἣν ὑμεῖς νῦν κατοικεῖτε· καὶ οὐκ ἔδωκεν αὐτῷ κληρονομίαν ἐν αὐτῇ οὐδὲ βῆμα ποδός. Σολομὼν δὲ ᾠκοδόμησεν αὐτῷ οἶκον. Ἀλλ᾽ οὐχ ὁ ὕψιστος ἐν χειροποιήτοις ναοῖς κατοικεῖ καθὼς ὁ προφήτης λέγει· «Ὁ οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου· ποῖον οἶκον οἰκοδομήσετέ μοι, λέγει Κύριος, ἢ τίς τόπος τῆς καταπαύσεώς μου; Οὐχὶ ἡ χείρ μου ἐποίησε ταῦτα πάντα;». Σκληροτράχηλοι καὶ ἀπερίτμητοι τῇ καρδίᾳ καὶ τοῖς ὠσίν,

ὑμεῖς ἀεὶ τῷ Πνεύματι τῷ Ἁγίῳ ἀντιπίπτετε, ὡς οἱ πατέρες ὑμῶν καὶ ὑμεῖς. Τίνα τῶν προφητῶν οὐκ ἐδίωξαν οἱ πατέρες ὑμῶν; Καὶ ἀπέκτειναν τοὺς προκαταγγείλαντας περὶ τῆς ἐλεύσεως τοῦ δικαίου, οὗ νῦν ὑμεῖς προδόται καὶ φονεῖς γεγένησθε· οἵτινες ἐλάβετε τὸν νόμον εἰς διαταγὰς ἀγγέλων, καὶ οὐκ ἐφυλάξατε. Ἀκούοντες δὲ ταῦτα διεπρίοντο ταῖς καρδίαις αὐτῶν καὶ ἔβρυχον τοὺς ὀδόντας ἐπ᾽ αὐτόν. Ὑπάρχων δὲ πλήρης Πνεύματος Ἁγίου, ἀτενίσας εἰς τὸν οὐρανὸν εἶδε δόξαν Θεοῦ καὶ Ἰησοῦν ἑστῶτα ἐκ δεξιῶν τοῦ Θεοῦ, καὶ

εἶπεν· Ἰδοὺ θεωρῶ τοὺς οὐρανοὺς ἀνεῳγμένους καὶ τὸν υἱὸν τοῦ ἀνθρώπου ἐκ δεξιῶν τοῦ Θεοῦ ἑστῶτα. Κράξαντες δὲ φωνῇ μεγάλῃ συνέσχον τὰ ὦτα αὐτῶν καὶ ὥρμησαν ὁμοθυμαδὸν ἐπ᾽ αὐτόν, καὶ ἐκβαλόντες ἔξω τῆς πόλεως ἐλιθοβόλουν. Καὶ οἱ μάρτυρες ἀπέθεντο τὰ ἱμάτια αὐτῶν παρὰ τοὺς πόδας νεανίου καλουμένου Σαύλου, καὶ ἐλιθοβόλουν τὸν Στέφανον, ἐπικαλούμενον καὶ λέγοντα· Κύριε Ἰησοῦ δέ- ξαι τὸ πνεῦμά μου. Θεὶς δὲ τὰ γόνατα ἔκραξε φωνῇ μεγάλῃ· Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην. Καὶ τοῦτο εἰπὼν ἐκοιμήθη.

Ἀλληλούϊα (γ΄). Ἦχος α΄. (Ψαλμὸς πη΄).

Στίχ. Ἐξομολογήσονται οἱ οὐρανοὶ τὰ θαυμάσιά σου, Κύριε, καὶ τὴν ἀλήθειάν σου ἐν ἐκκλησίᾳ ἁγίων.

Ὁ Θεὸς ὁ ἐνδοξαζόμενος ἐν βουλῇ ἁγίων, μέγας καὶ φοβερός ἐστιν ἐπὶ πά- ντας τοὺς περικύκλῳ αὐτοῦ.

Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ματθαῖον (κα΄ 33-42).
*(Ζήτει τῇ Κυριακῇ τῆς ΙΓ΄ ἑβδομάδος τοῦ Ματθαίου).*

**Ε**ἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· ἄνθρωπός τις ἦν οἰκοδεσπότης, ὅστις ἐφύτευσεν ἀμπελῶνα καὶ φραγμὸν αὐτῷ περιέθηκε καὶ ὤρυξεν ἐν αὐτῷ ληνὸν καὶ ᾠκοδόμησεν πύργον, καὶ ἐξέδοτο αὐτὸν γεωργοῖς, καὶ ἀπεδήμησεν. Ὅτε δὲ ἤγγισεν ὁ καιρὸς τῶν καρπῶν, ἀπέστειλε τοὺς δού- λους αὐτοῦ πρὸς τοὺς γεωργοὺς λαβεῖν τοὺς καρποὺς αὐτοῦ. Καὶ λαβόντες οἱ γεωργοὶ τοὺς δούλους αὐτοῦ ὃν μὲν ἔδειραν, ὃν δὲ ἀπέκτειναν, ὃν δὲ ἐλιθοβόλησαν. Πάλιν ἀπέστειλεν ἄλλους δούλους πλείονας τῶν πρώτων, καὶ ἐποίησαν αὐτοῖς ὡσαύτως. Ὕστερον δὲ ἀπέστειλε πρὸς αὐτοὺς τὸν υἱὸν αὐτοῦ λέγων· ἐντραπήσονται τὸν υἱόν μου. Οἱ δὲ γεωργοὶ ἰδόντες τὸν υἱὸν εἶπον ἐν ἑαυτοῖς· οὗτός ἐστιν ὁ κληρονόμος· δεῦτε ἀποκτείνωμεν αὐτὸν καὶ κατάσχωμεν τὴν κληρονομίαν αὐτοῦ. Καὶ λαβόντες αὐτὸν ἐξέβαλον ἔξω τοῦ ἀμπελῶνος καὶ ἀπέκτειναν. Ὅταν οὖν ἔλθῃ ὁ κύριος τοῦ ἀμπελῶνος, τί ποιήσει τοῖς γεωργοῖς ἐκείνοις; Λέγουσιν αὐτῷ· Κακοὺς κακῶς ἀπολέσει αὐτούς, καὶ τὸν ἀμπελῶνα ἐκδώσεται ἄλλοις γεωργοῖς, οἵτινες ἀποδώσουσιν αὐτῷ τοὺς καρποὺς ἐν τοῖς καιροῖς αὐτῶν. Λέγει αὐτοῖς ὁ Ἰησοῦς· Οὐδέποτε ἀνέγνωτε ἐν ταῖς γραφαῖς, λίθον ὃν

ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας· παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν;

Κοινωνικόν.

**Ε**ἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ
καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτοῦ. Ἀλληλούϊα.

Μεγαλυνάριον.

**Ὅ**λον διαλάμπον ὑπερφυῶς, αἴγλῃ ἀφθαρσίας, ὡς πολύαθλος θησαυρός, ἀπὸ γῆς ἐφάνη, Χριστοῦ τῇ Ἐκκλησίᾳ Στέφανε πρωτομάρτυς, τὸ θεῖον σκῆνός σου.